λιοστοῦ τριακοσιοστοῦ εἰκοστοῦ τετάρτου ἔτους, ὃ καὶ συνήθως ἐβεβαιώθη δι' ἐρυθρᾶς οἰκειοχείρου ὑπογραφῆς τῆς βασιλείας μου καὶ ἠσφαλίσθη διὰ χρυσίνης βούλλης κάτωθεν ἀπῃωρημένης †.

† Ἀνδρόνικος, ἐν Χριστῷ τῷ θεῷ πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ Ῥωμαίων, ὁ Παλαιολόγος †.

*Orig. membr. tabularii Veneti. A tergo:* ἐγεγόνει κατὰ μῆνα ὀκτώβριον τῆς ὀγδόης ἰνδικτιῶνος. *Aurea bulla, olim suspensa serico violaceo, avulsa est. Margo sinistra membranae aut avulsa aut humiditate vitiata. Partem deficientem textus graeci e versione latina scripta ad dextram et ex actis similibus supplevimus.*

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΜΕΣΑΙΩΝΙΚΗΣ ΕΛΛΗΝΙΚΗΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

## XXV. 6841—1332. mense novembri ind. I.

*Imperator Andronicus Palaeologus iunior renovat pacta cum Venetis facta in annos sex.*

† Εἰς τὸ ὄνομα τοῦ κυρίου. ἀμήν. ἐπεὶ ἀπέστειλεν ἡ βασιλεία μου τὸν τιμιώτατον δικαιοφύλακα, κῦρ Γρηγόριον τὸν Κλειδᾶν, καὶ τὸν πανσέβαστον, σεβαστὸν οἰκεῖον αὐτῇ, κῦρ Στέφανον τὸν Συρόπουλον, εἰς τὸν ἐπιφανῆ δοῦκα καὶ τὸ κουμούνιον Βενετίας πρέσβεις ἐντελεῖς, ἔχοντας δύναμιν διὰ προκουρατορικοῦ ἡμετέρου χρυσοβούλλου τρακταΐσαι, συμφωνῆσαι καὶ ἀποκαταστῆσαι νέαν τρέβαν ἀναμέσον τῆς βασιλείας ἡμῶν καὶ τοῦ αὐτοῦ ἐπιφανοῦς δουκὸς καὶ τοῦ κουμουνίου Βενετίας, κἀντεῦθεν κατήντησαν καὶ συνεφώνησαν καὶ ἀποκατέστησαν μετ' αὐτῶν τρέβαν ἐπὶ διωρίᾳ ἐτῶν ἕξ, ἀρχομένων ἀπὸ τῆς τετάρτης τοῦ ἰουλίου μηνὸς τῆς πεντεκαιδεκάτης ἰνδικτιῶνος, ὥστε στέργεσθαι καὶ διαμένειν τὰς προγεγονυίας τρέβας ἀπαρασαλεύτους καὶ χωρίς τινος ἐναλλαγῆς ἐπὶ τοῖς κεφαλαίοις, ἅπερ πᾶσαι αἱ προρρηθεῖσαι γεγονυῖαι τρέβαι διαλαμβάνουσιν. ἀλλὰ δὴ καὶ ὧν ἰδίως μνείαν ποιεῖται ἡ πρὸ ὀλίγου γενομένη τρέβα μετὰ πάντων καὶ ἑκάστων κεφαλαίων, καταστάσεων καὶ προσθηκῶν γενομένων καὶ διαλαμβανομένων ἐν αὐτῇ, ὑπεσχέθησαν καὶ ἐπωμόσαντο καὶ ἕνεκεν τούτου οἱ ἡμέτεροι πρέσβεις, ἵνα στέρξῃ καὶ κυρώσῃ ἡ βασιλεία μου δι' ἐγγράφου ὁρκωμοτικοῦ αὐτῆς, ἅπερ συνεφώνησαν καὶ ἔταξαν καὶ ἀποκατέστησαν. ἡ βασιλεία μου, στέργουσα, ὅσον οὗτοι συνεφώνησαν καὶ ἐπωμόσαντο, ὡς ἔχοντες ἄδειαν καὶ δύναμιν εἰς τοῦτο διὰ τοῦ εἰρημένου προκουρατορικοῦ χρυσοβούλλου, ἤδη ἐκτίθεται τὸ παρὸν ὁρκωμοτικὸν αὐτῆς, δι' οὗ καὶ

Ε.Υ. της τ.Ι. ΙΩΑΝΝΙΝΑ 2006

ὀμνύει εἰς τὰ ἅγια τοῦ θεοῦ εὐαγγέλια καὶ εἰς τὸν τίμιον καὶ ζωοποιὸν σταυρόν, ὡς ἂν στέρξῃ ἀμεταθέτως καὶ ἀπαρασαλεύτως, ὅσα ἔταξαν καὶ συνεφώνησαν καὶ ἀποκατέστησαν οἱ εἰρημένοι ἡμέτεροι πρέσβεις μετὰ τοῦ δηλωθέντος ἐπιφανοῦς δουκὸς καὶ τοῦ κουμουνίου Βενετίας ἐπὶ τῇ ῥηθείσῃ διωρίᾳ τῶν ἓξ χρόνων, ἤγουν ἵνα τρέβαν καθαρὰν καὶ ἀδολίευτον φυλάσσωμεν δι᾿ ἡμῶν καὶ τῆς βασιλείας ἡμῶν πρὸς τὸν ἐπιφανῆ δοῦκα καὶ τὸ κουμούνιον τῆς Βενετίας καὶ πρὸς ἅπαν τὸ μέρος αὐτοῦ, καὶ φυλάξωμεν πάντα τὰ ἐν ταῖς ῥηθείσαις προγεγονυίαις τρέβαις διαλαμβανόμενα κεφάλαια, ὡσαύτως δὲ ἀποδώσομεν καὶ τὰ νῦν ὑποσχεθέντα παρὰ τῶν εἰρημένων πρέσβεων ἕνεκεν τῶν ζημιῶν τῶν γεγονυιῶν τοῖς Βενετίκοις καὶ τοῖς ὑποτεταγμένοις τῷ ἐπιφανεῖ δουκὶ καὶ τῷ κουμουνίῳ τῆς Βενετίας παρὰ τοῦ λαοῦ καὶ τῶν ὑποτεταγμένων τῇ βασιλείᾳ μου, ἀλλὰ δὴ καὶ ἕνεκεν τῶν ὀσπητίων τῶν ἀποτεταγμένων δίδοσθαι τῷ κονσούλῳ Βενετίκων ἐν τῇ Θεσσαλονίκῃ κατὰ τὸν τύπον τῶν τρεβῶν, ἃ καὶ οὐκ ἐδόθησαν, δοῦναι καὶ ἀναπληρῶσαι ὑπέρπυρα χρυσᾶ χιλιάδας δεκαπέντε καὶ ὀκτακόσια ἀπὸ τῶν πολιτευομένων κατὰ τὸ παρὸν εἰς τὴν θεοφύλακτον Κωνσταντινούπολιν δικαίῳ σταθμῷ ἐπὶ διωρίᾳ ἐτῶν τριῶν, ἤγουν καθ᾿ ἕκαστον ἔτος τὸ τρίτον τούτων, κατὰ τὸν τύπον καὶ τὸν τρόπον, καθ᾿ ὃν ἐδόθησαν καὶ ἀπωφλήθησαν εἰς τὴν πρὸ μικροῦ τελεσθεῖσαν τρέβαν, ἕως ἀναπληρώσεως καὶ ἱκανοποιήσεως τῆς ἀναγεγραμμένης ποσότητος τῶν ὑπερπύρων. καὶ τούτου ἕνεκεν ὁ διαληφθεὶς ἐπιφανὴς δοὺξ καὶ τὸ κουμούνιον Βενετίας ἀπολύει καὶ ἀργεῖ πάσας τὰς ζημίας καὶ βλάβας τὰς γενομένας τοῖς τούτῳ ὑποτεταγμένοις Βενετίκοις παρὰ τοῦ λαοῦ καὶ τῶν ὑποτεταγμένων τῇ βασιλείᾳ μου ἕως δηλονότι τῆς δηλωθείσης τετάρτης τοῦ ἰουλίου μηνός, ἐξισάζων διὰ παντὸς ὑπὲρ τῶν προειρημένων ζημιῶν τῇ βασιλείᾳ μου καὶ τῷ λαῷ αὐτῆς, ὡσαύτως καὶ ἡ βασιλεία μου ἀφίησι καὶ ἀργεῖ πᾶσαν βλάβην καὶ ζημίαν γεγονυῖαν παρὰ τοῦ εἰρημένου ἐπιφανοῦς δουκὸς καὶ τοῦ Κουμουνίου Βενετίας ἢ τῶν καπετάνων καὶ ἐνόχων τούτων καὶ ἄλλων ὑποτεταγμένων αὐτοῖς εἴς τινας Ῥωμαίους καὶ ὑποτεταγμένους τῇ βασιλείᾳ μου, καὶ εἰς ταύτας ἐξίσωσιν ποιεῖ πρός τε τὸν ἐπιφανῆ δοῦκα καὶ τοὺς ὑποτεταγμένους αὐτοῖς πάντας, πλὴν εἰ μήπως συμβῇ καὶ φανῶσι καὶ παραστῶσιν ἐκ νέου ζημίαι καὶ βλάβαι γενόμεναι παρὰ τοῦ λαοῦ καὶ τῶν ὑποτεταγμένων τῇ βασιλείᾳ μου τοῖς Βενετίκοις

καὶ ὑποτεταγμένοις τῷ ἐπιφανεῖ δουκὶ καὶ τῷ κουμουνίῳ Βενετιῶν ἢ παρὰ τοῦ τοιούτου κουμουνίου καὶ τῶν τούτου καπετάνων καὶ ἐνόχων ἢ καὶ ἄλλων τινῶν τῶν τούτῳ ὑποτεταγμένων τοῖς ὑποτεταγμένοις τῇ βασιλείᾳ μου, μὴ φθάσασαι αὗται λαληθῆναι ἔτι ἐνώπιον τῆς βασιλείας μου ἢ τοῦ διαληφθέντος ἐπιφανοῦς δουκός. ἐπεὶ δὲ προέτεινεν ὁ ἐπιφανὴς δοὺξ Βενετιῶν καὶ ἑτέρας ὀφειλὰς Βενετίκοις ὀφειλομένας παρά τινων ὑποτεταγμένων τῇ βασιλείᾳ μου, αἵτινες καὶ κατωτέρω ῥηθήσονται, καὶ ὑπεσχέθησαν οἱ ῥηθέντες ἡμέτεροι πρέσβεις, ἵνα γένηται καὶ εἰς ταύτας ἀποκατάστασις παρὰ τῆς βασιλείας μου, ἤγουν τὴν ζήτησιν καὶ ὀφειλὴν τοῦ Συμεὼν Κουρμουλίση, ζητοῦντος λίτρας τεσσαρακονταεπτὰ δουκάτων βενετικικῶν, ἅτινα δέδωκε δανειακῶς πρὸς τὸν περιπόθητον θεῖον τῆς βασιλείας μου, κῦρ Ἀνδρόνικον Παλαιολόγον τὸν Ἀσάνην, δοθέντα καὶ σταλέντα ταῦτα πρὸς τὸν τοιοῦτον διὰ τοῦ ἀνθρώπου αὐτοῦ Γεωργίου τοῦ Μαγουλᾶ, ὃν ἀπέστειλεν ἕνεκεν τούτου ὁ ῥηθεὶς Ἀσάνης. ἔτι τὴν ζήτησιν καὶ ὀφειλὴν Μιχαὴλ Βεντελίνου τοῦ Ζιγαλίτου, ζητοῦντος ὑπέρπυρα τριακόσια εἰκοσιπέντε εἰς ἱκανοποίησιν φουσκῶν χαβιαρίου ὀφειλομένων παρὰ τοῦ Καλαμαρᾶ καὶ Γεωργίου τοῦ Βρανᾶ τοῦ πενθεροῦ τούτου, ὡς ἐμφαίνεται διὰ τῆς σεκρετικῆς ἀποφάσεως, καταδικαζούσης τὸν ῥηθέντα Καλαμαρᾶν καὶ τὸν Βρανᾶν. ἔτι τὴν ζήτησιν καὶ ὀφειλὴν τοῦ εὐγενοῦς ἀνδρὸς Ἰωάννου Σανότου, ζητοῦντος εἰς ὄνομα τοῦ Καντιάνου ἐκείνου, τοῦ ἀδελφοῦ τούτου, ὑπέρπυρα ἑξακόσια ἐννενήκοντα τρία ἥμισυ ὀφειλόμενα παρὰ Μανουὴλ τοῦ Ἄρχοντος καὶ Πέτρου τοῦ Μαριλέοντος τοῦ γυναικαδέλφου τούτου διὰ λοιπαδάρια ἀπ᾿ ἐκβολῆς τζοχῶν, αἵτινες ἐπωλήθησαν πρὸς αὐτοὺς παρὰ τοῦ ῥηθέντος Καντιάνου. ἐφ᾿ οἷς δὴ τρισὶ ζητήμασι καὶ ὀφειλαῖς ὑπεσχέθησαν οἱ διαληφθέντες πρέσβεις τῆς βασιλείας μου γενέσθαι πλήρη καὶ ἀκεραίαν τὴν ἱκανοποίησιν, ὀφειλόντων τοῦ τε Κουρμουλίση Συμεών, Μιχαὴλ τοῦ Βεντελῆ καὶ Ἰωάννου Σανότου ἀντιστρέψαι καὶ δοῦναι τοῖς τοιούτοις χρεωφειλέταις αὐτῶν τά τε ἔγγραφα καὶ τὰς ἀποδείξεις, ἃς ἔχουσιν ἕνεκεν τῶν ἀναγεγραμμένων ὀφειλῶν ἢ γενέσθαι τούτοις γράμματα ἀσφαλείας πληρέστατα, ὥστε ἀρκεσθῆναι· καὶ ἐὰν οἱ ῥηθέντες χρεωφειλέται ἤ τις τούτων δείξωσιν, ὅτι δεδώκασι πρὸς τοὺς τοιούτους Βενετίκους δανειστάς τινα τῶν ἀναγεγραμμένων χρεῶν, ὀφείλει ὁ μπαΐουλος τῶν ἐν τῇ θεοδοξάστῳ Κωνσταντινουπόλει Βενετίκων ποιῆ-

σαι εἰς ἕκαστον τούτων πλῆρες καὶ ἀκέραιον τὸ δίκαιον ἀπὸ τῶν πραγμάτων τῶν τοιούτων δανειστῶν Βενετίκων. ἔτι τὴν ζήτησιν καὶ ὀφειλὴν Ἀλεξίου τοῦ Τζουλιάνου, ζητοῦντος λίτρας τεσσαράκοντα τέσσαρας διὰ δουκάτων βενετικικῶν εἰς ἱκανοποίησιν τῶν τούτου ὀσπητίων, ἃ δυναστικῶς ἐκράτησεν ὁ περιπόθητος θεῖος τῆς βασιλείας μου, κῦρ Ἀνδρόνικος Παλαιολόγος ὁ Ἀσάνης, ὑποσχεθέντων τῶν ἡμετέρων πρέσβεων ἀντιστρέψαι τὸν τοιοῦτον Ἀσάνην τὰ τοιαῦτα ὀσπήτια κατὰ τὴν κατάστασιν ἣν ηὑρίσκοντο, ὅτε ἐκρατήθησαν παρ' αὐτοῦ, ἢ δοθῆναι λίτρας τεσσαρακοντατέσσαρας διὰ δουκάτων βενετικικῶν εἰς ἱκανοποίησιν τῶν τοιούτων ὀσπητίων· μετὰ δὲ τὴν τοιαύτην κατάστασιν ἵνα ὁ ῥηθεὶς μπαΐουλος ἐνέχηται καὶ ὀφείλῃ πλῆρες τὸ δίκαιον εἰς ἅπερ ὁ διαληφθεὶς κῦρ Ἀσάνης ζητήσῃ, ποιῆσαι μετὰ τοῦ δικαίου ἀπὸ τοῦ τοιούτου Ἀλεξίου καὶ ἀποδοῦναι ταῦτα ἀπὸ τῶν πραγμάτων τοῦ αὐτοῦ Ἀλεξίου. ἔτι τὴν ζήτησιν καὶ ὀφειλὴν τοῦ ῥηθέντος Ἀλεξίου, ζητοῦντος ὑπέρπυρα τριακόσια εἰς ἱκανοποίησιν τῶν ὀσπητίων αὐτοῦ τῶν κρατηθέντων ὁρισμῷ τῆς βασιλείας μου καὶ δοθέντων τοῖς Προβεντζιαλίοις, ὑποσχεθέντων τῶν διαληφθέντων ἡμετέρων πρέσβεων ἀντιστραφῆναι ταῦτα πρὸς τὸν τοιοῦτον Ἀλέξιον κατὰ τὴν κατάστασιν ἣν ηὑρίσκοντο, ὅτε ἐκρατήθησαν, ἢ δοθῆναι πρὸς τὸν αὐτὸν Ἀλέξιον τὰ τοιαῦτα ὑπέρπυρα. ἔτι τὴν ζήτησιν καὶ ὀφειλὴν τοῦ σὺρ Κώνστα Μιχέλῃ, ζητοῦντος ὑπέρπυρα πεντακόσια εἰς ἱκανοποίησιν κοφινίων δεκατριῶν μαστίχης κρατηθέντων παρὰ κομμερκιαρίου τοῦ Κεφαλᾶ. ἔτι δὲ καὶ ὑπέρπυρα ἑπτακόσια εἰς ἱκανοποίησιν ζημίας, ἥτις ἐγένετο αὐτῷ εἰς τὴν ἑτέραν μαστίχην αὐτοῦ, διὸ ἐνεποδίσθη παρὰ τοῦ εἰρημένου κομμερκιαρίου τοῦ Κεφαλᾶ ἐκβαλεῖν ταύτην ἀπὸ τῆς πύλης τῆς πόλεως καὶ ἀποστεῖλαι αὐτήν, ἔνθα καὶ διεπώλησε, μὴ συντηρηθέντος τοῦ ῥηθέντος Κεφαλᾶ εἰς τὴν συμφωνίαν καὶ συμβίβασιν, ἣν ἐποιήσατο μετὰ τοῦ τοιούτου σὺρ Κώνστα, καὶ ὑπεσχέθησαν καὶ εἰς ταῦτα οἱ ἡμέτεροι πρέσβεις, δοθῆναι πρὸς τὸν τοιοῦτον συρ Κώνσταν παρὰ τοῦ τοιούτου Κεφαλᾶ τὰ ἀναγεγραμμένα πεντακόσια ὑπέρπυρα εἰς ἱκανοποίησιν τῶν δεκατριῶν κοφινίων τῆς μαστίχης. περὶ δὲ τῆς ἄλλης ζητήσεως τῶν ἑπτακοσίων ὑπερπύρων, ἵνα καθὼς ἔταξαν οἱ ῥηθέντες ἡμέτεροι πρέσβεις, ἴδῃ ὁ ῥηθεὶς μπαΐουλος τὰς διαφωνίας τὰς μέσον τοῦ σὺρ Κώνστα καὶ τοῦ τοιούτου Κεφαλᾶ, καὶ ἐπὶ τούτοις ὅσον ἂν φανῇ αὐτῷ εἶναι δίκαιον, ἀποφήνηται, καὶ ἔχῃ τοῦτο τὸ στέργον. ὥσ-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

αύτως ἵνα ἐνέχηται ὁ ῥηθεὶς μπαΐουλος ἱκανοποιῆσαι τοὺς τοιούτους κομμερκιαρίους εἰς ὅσον ἂν δείξωσι καὶ παραστήσωσιν, ὅτι ὀφείλει πρὸς αὐτοὺς ὁ ῥηθεὶς σὺρ Κώνστας, καὶ δοῦναι τοῦτο πρὸς τοὺς αὐτοὺς κομμερκιαρίους ἀπὸ τῶν πραγμάτων τοῦ τοιούτου σὺρ Κώνστα. ἔτι τὴν ζήτησιν καὶ ὀφειλὴν Κωνσταντίνου τοῦ Χορτάτζη, ζητοῦντος ὑπέρπυρα διακόσια τεσσαράκοντα εἰς ἱκανοποίησιν πανίων μεταξωτῶν καὶ τζοχῶν καὶ ἄλλων εἰδῶν κρατηθέντων παρὰ ἀνθρώπων τῆς βασιλείας μου περὶ τὸν λιμένα τοῦ Ἱεροῦ, περὶ ὧν ἔταξαν καὶ ὑπεσχέθησαν οἱ ῥηθέντες ἡμέτεροι πρέσβεις, ἵνα εἴπερ οὐδὲν ἐδόθησαν καὶ ἀντεστράφησαν ταῦτα πρὸς τὸν τοιοῦτον Κωνσταντῖνον ἢ πρὸς ἕτερον εἰς ὄνομα αὐτοῦ, ἵνα δοθῶσι καὶ ταῦτα τὰ διακόσια τεσσαράκοντα ὑπέρπυρα πρὸς τὸν τοιοῦτον Κωνσταντῖνον. ἔτι τὴν ζήτησιν καὶ ὀφειλὴν τοῦ εὐγενοῦς ἀνδρὸς Ἰακώβου Βαντελίνου, ζητοῦντος ὑπέρπυρα τριακόσια εἰς ἱκανοποίησιν χρυσαφίου, ἀσημίου καὶ μαργάρων ὄντων τιμῆς ὑπερπύρων τετρακοσίων, ἅτινα δὴ πράγματα ἐκράτει εἰς ἐνέχυρον ἕνεκεν τῶν διαληφθέντων τριακοσίων ὑπερπύρων ἀπὸ Σπανοῦ τοῦ Σταμάτη καὶ Στεφάνου τοῦ Λυκουδᾶ, πραγματευτῶν Ἰωαννιτῶν, ἅτινα δυναστικῷ τρόπῳ ἥρπασαν οἱ ἀπὸ τοῦ Αὐλῶνος, ὅ τε σεβαστὸς Θεόδωρος ὁ Λυκουδᾶς καὶ Μιχαὴλ ὁ Μαλάγαρις ἀπὸ Τζιαννίου ντὲ Βαριέντου, τοῦ ἀνεψιοῦ καὶ ἐνεργητοῦ τοῦ ῥηθέντος Ἰακώβου, οὗ εἰς χεῖρας ηὑρίσκοντο, ὑποσχεθέντων τῶν ἀναγεγραμμένων ἡμετέρων πρέσβεων ἀντιστραφῆναι πρὸς τὸν τοιοῦτον Ἰάκωβον τὰ ῥηθέντα ἐνέχυρα ἢ γενέσθαι αὐτῷ ἱκανοποίησιν τῶν τοιούτων τριακοσίων ὑπερπύρων. ἔτι τὴν ζήτησιν καὶ ὀφειλὴν τῶν εὐγενῶν ἀνδρῶν, τοῦ Νικολέτου καὶ τοῦ Μάρκου Κονταρίνου, ζητούντων ὑπέρπυρα χίλια ἑκατὸν ἑξήκοντα δύο ἥμισυ εἰς ἱκανοποίησιν τῶν πραγμάτων αὐτῶν, ἅπερ ἐκράτησε καὶ ἀπῆρε δυναστικῷ τρόπῳ ὁ Λάσκαρις ὁ εἰς κεφαλὴν εὑρισκόμενος τοῦ κάστρου Κανίνων, τοῦ Αὐλῶνος καὶ τῶν ἄλλων ἐκεῖσε χωρῶν, ὑποσχεθέντων τῶν ἀναγεγραμμένων ἀποκρισιαρίων τῆς βασιλείας μου γενέσθαι ἱκανοποίησιν εἰς αὐτοὺς ἕνεκεν τῶν τοιούτων χιλίων ἑκατὸν εἰκοσιδύο ἥμισυ ὑπερπύρων, ἃς δῆτα ἱκανοποιήσεις καὶ ἀποφλήσεις τῶν τοιούτων ἐννέα ζητημάτων καὶ ὀφειλῶν κατὰ τὸν τύπον καὶ τὸν τρόπον τὸν ἀναγεγραμμένον ὑπεσχέθησαν οἱ διαληφθέντες πρέσβεις τῆς βασιλείας μου γενέσθαι καὶ ἀποδοθῆναι κατὰ τὸ ἀκέραιον παρὰ τῶν ὀφειλόντων ταῦτα ἐντὸς διωρίας χρόνου ἑνός, ἀρχομένου ἀπὸ τῶν

ΕΡΓΑΣΤΗΡΙΟ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΜΗΜΑ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΣΗ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΖΟΣ
Ε.Υ.Α. της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

καλανδῶν τοῦ σεπτεβρίου μηνὸς τῆς πρώτης ἰνδικτιῶνος. εἰ δὲ ἐντὸς τῆς τοιαύτης διωρίας τοῦ ἑνὸς χρόνου οὐδὲν λάβωσιν ἐξ ἀκεραίου τὴν ἱκανοποίησιν τῶν ῥηθέντων ὑπερπύρων κατὰ τὸν τύπον τὸν ἀναγεγραμμένον οἱ διαληφθέντες ὑποτεταγμένοι τῷ ἐπιφανεῖ δουκὶ τοῦ κουμουνίου Βενετιῶν, παρελθόντος τοῦ τοιούτου χρόνου ἵνα ἐνέχηται ἡ βασιλεία μου ποιῆσαι τούτοις ἐξ ἀκεραίου τὴν ἱκανοποίησιν ἀπὸ τοῦ βεστιαρίου αὐτῆς ἕως τῆς ὁμάδος τῆς ἄνωθεν σημειωθείσης. ἔτι περὶ τῆς ῥηθείσης διωρίας τῶν ἓξ ἐτῶν τῆς τρέβας τῆς ἄρτι γενομένης, ἵνα τοσοῦτον ἐπὶ πλέον καιροῦ προχωρήσῃ, καθόσον δηλονότι ἀμφοτέροις ἀρέσκει τοῖς μέρεσι, τῇ τε βασιλείᾳ μου δηλονότι καὶ τῷ ἐπιφανεῖ δουκὶ καὶ τῷ κουμουνίῳ Βενετίας. ἐπὰν δὲ ἡ βασιλεία μου ἢ αὐτὸς ὁ ἐπιφανὴς δοὺξ καὶ τὸ κουμούνιον Βενετίας μετὰ τὴν δηλωθεῖσαν διωρίαν τῶν ἓξ ἐτῶν θελήσει διαλῦσαι τὴν τοιαύτην τρέβαν, ἵνα ἔχῃ ἐπ' ἀδείας ὁποιονοῦν μέρος διαλῦσαι ταύτην, πλὴν δὲ οὐκ ἄλλως, εἰ μὴ πρότερον τὸ θελῆσαν μέρος διαλῦσαι αὐτὴν πέμψει καὶ δηλώσει καὶ γνώριμον καὶ φανερὸν ποιήσει, ὅτι οὐδὲν ἀρέσκεται ἐπὶ πλέον ἐνέχεσθαι καὶ κρατεῖσθαι εἰς αὐτὴν τὴν τρέβαν, εἶτα τῆς τοιαύτης γενομένης δηλώσεως καὶ φανερώσεως ὀφείλει προστεθῆναι καὶ ἕτερος ἑξαμηνιαῖος καιρὸς εἰς τὴν τοιαύτην τρέβαν, ὡς ἂν καὶ οἱ ὄντες ἐκ τοῦ μέρους τῆς βασιλείας μου εἰς τὰ μέρη τοῦ ἐπιφανοῦς δουκὸς καὶ τοῦ κουμουνίου Βενετίας καὶ οἱ ὄντες ἐκ τοῦ μέρους τῶν Βενετίκων εἰς τὰ μέρη τῆς βασιλείας μου δυνηθῶσιν ὑποστρέψαι ἕκαστος εἰς τὰ ἴδια, καὶ μείνωσιν ἀβλαβεῖς καὶ ἀζήμιοι διὰ τῆς τοιαύτης διωρίας τῶν ἓξ μηνῶν. ταῦτα πάντα, ὅσα ἐν τῷ παρόντι ὁρκωμοτικῷ διαλαμβάνονται, στέρξει καὶ φυλάξει ἡ βασιλεία μου, καθὼς καὶ ὁ ἐπιφανὴς δοὺξ Βενετίας μέλλει αὖθις κατὰ τὸν ἴσον τρόπον ποιῆσαι γραφῆναι ὅμοιον ὁρκωμοτικὸν τούτῳ καὶ ἐπομόσασθαι αὐτὸ ἐπὶ τῇ ψυχῇ αὐτοῦ καὶ ταῖς ψυχαῖς παντὸς τοῦ μέρους καὶ τοῦ κουμουνίου Βενετίας κατὰ τὴν τούτου συνήθειαν ἐνώπιον τοῦ ἀνθρώπου ἢ τῶν ἀνθρώπων τῶν μελλόντων ἀποσταλῆναι ἐπὶ τούτῳ παρὰ τῆς βασιλείας ἡμῶν καὶ ἀποστεῖλαι αὐτὸ εἰς τὴν βασιλείαν ἡμῶν, καθὼς ἔταξε καὶ ὑπεσχέθη καὶ στέρξαι καὶ κυρῶσαι πάντα καὶ ἕκαστα τὰ ῥηθέντα. τούτων οὖν πάντων ἕνεκεν τὸ παρὸν ὁρκωμοτικὸν ἐξετέθη καὶ ἐγεγόνει χρυσόβουλλον τῆς βασιλείας μου, καὶ ἐπωμόσατο τοῦτο ἡ βασιλεία μου παρόντων ἐνώπιον αὐτῆς τοῦ τε περιποθήτου θείου τῆς βασι-

λείας μου, τοῦ πανευτυχεστάτου δεσπότου κυροῦ Δημητρίου τοῦ Παλαιολόγου, τοῦ περιποθήτου γαμβροῦ τῆς βασιλείας μου, τοῦ μεγάλου δομεστίκου, κυροῦ Ἰωάννου Παλαιολόγου τοῦ Καντακουζηνοῦ, τοῦ οἰκείου τῇ βασιλείᾳ μου, παρακοιμωμένου κυροῦ Ἀλεξίου τοῦ Ἀποκαύκου, τοῦ μεγάλου παπίου κυροῦ Ἀντωνίου τοῦ Τζαμπλάκωνος, τοῦ θείου τῆς βασιλείας μου μεγάλου δρουγγαρίου τῆς βίγλης, κυροῦ Δημητρίου τοῦ Τορνίκη, καὶ τοῦ οἰκείου τῇ βασιλείᾳ μου, μεγάλου ἄρχοντος κυροῦ Δημητρίου τοῦ Ἀγγέλου, καὶ ἐδόθη τοῦτο τῷ εὐγενεῖ ἀνδρὶ μπαΐούλῳ τῶν ἐν τῇ ἡμετέρᾳ βασιλείᾳ Βενετίκων κυρῷ Ἰακώβῳ Σουπεράντζιο διὰ χειρῶν τῆς βασιλείας μου κατὰ τὴν ἐπὶ τοῦτο ζήτησιν τοῦ ἐπιφανοῦς δουκὸς Βενετίας, γραφὲν ῥωμαϊκοῖς γράμμασι διὰ χειρὸς νοταρίου τῆς βασιλείας μου, Νικολάου τοῦ Βαβισκωμίτου, λατινικοῖς δὲ διὰ χειρὸς τοῦ διερμηνευτοῦ καὶ οἰκείου τῇ βασιλείᾳ μου Ἰακώβου Μπαλιστέρη νοταρίου κατὰ μῆνα νοέβριον τῆς ἐνισταμένης πρώτης ἰνδικτιῶνος τοῦ ἑξακισχιλιοστοῦ ὀκτακοσιοστοῦ τεσσαρακοστοῦ πρώτου ἔτους κατὰ τὴν ἡμετέραν ἀπαρίθμησιν, κατὰ δὲ τὴν τῶν Λατίνων συνήθειαν ἀπὸ τῆς τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ σαρκώσεως χιλιοστοῦ τριακοσιοστοῦ τριακοστοῦ δευτέρου· ὃ καὶ συνήθως ἐβεβαιώθη διὰ ἐρυθρᾶς οἰκειοχείρου ὑπογραφῆς τῆς βασιλείας μου καὶ ἠσφαλίσθη διὰ χρυσίνης βούλλης κάτωθεν ἀπῃωρημένης †.

† Ἀνδρόνικος ἐν Χριστῷ τῷ θεῷ πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ Ῥωμαίων ὁ Παλαιολόγος †.

*Orig. membr. tabullarii Veneti. Versio latina a dextra. Aurea bulla, serico violaceo olim suspensa, nunc avulsa.*

## XXVI. (7850) 1342. mense martio ind. X.

*Imperator Ioannes Palaeologus prorogat anteriores pactiones cum Venetis factas in annos septem.*

† Ἐν ὀνόματι τοῦ θεοῦ, ἀμήν. Ἰωάννης, ἐν Χριστῷ τῷ θεῷ πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ Ῥωμαίων, ὁ Παλαιολόγος.

Ἐπειδὴ μεταξὺ τῆς βασιλείας αὐτοῦ καὶ τοῦ δουκάτου τῆς Βενετίας συνέβησαν βουλεύματα καὶ λόγοι περὶ συμφωνιῶν καὶ τρεβῶν

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΣΗ: ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΖΟΠΟΥΛΟΣ
Ε.Υ.Δ. τηλ.κ.τ.π. ΙΩΑΝΝΙΝΑ 2006

εἰρηνικαῖς καταστάσεσι προβαίνειν ἀξίων καὶ ἤδη τῇ γαληνότητι αὐτοῦ προσῆλθεν ὁ εὐγενὴς καὶ σοφὸς ἀνὴρ Πέτρος ντὲ Κανάλη πρέσβυς, σύνδικος, ἐπίτροπός τε καὶ ἄγγελος τοῦ περιβλέπτου ἀνδρὸς κυροῦ Βαρθολομαίου τοῦ Γραδονίκου, τοῦ τῆς Βενετίας καὶ Δαλματίας καὶ Χοροβατίας δουκὸς καὶ αὐθέντου καὶ ἄλλων χωρῶν καὶ νήσων, τῷ αὐτοῦ δουκάτῳ καὶ τῷ κουμουνίῳ τῆς Βενετίας ὑποτεταγμένων, κἀντεῦθεν ἔχων ἐξουσίαν πλήρη καὶ πρόσταξιν, ὥσπερ ἐμπεριείληπται τῷ δημοσίῳ γράμματι τῷ ἐν Βενετίᾳ γραφέντι διὰ χειρὸς Στεφάνου ντὲ Φραγγίνων νοταρίου κατὰ τὸ ἀπὸ τῆς γεννήσεως τοῦ κυρίου χιλιοστὸν τριακοσιοστὸν τεσσαρακοστὸν πρῶτον ἔτος τῆς ἐνάτης ἰνδικτιῶνος τῇ τοῦ ἰουλίου μηνὸς ἑπτακαιδεκάτῃ, ἵνα τοῦ λοιποῦ καὶ εἰς τὸ ἑξῆς τῆς εἰωθυίας ἀγάπης παρατήρησις καὶ γαλήνειος ἐξίσωσις ἐξανθήσῃ, εὐδοκεῖ τε ἡ βασιλεία αὐτοῦ καὶ βούλεται καὶ ἐπικυροῖ, συναινοῦντα ἔχουσα καὶ βουλόμενον κατὰ τὸ ὅμοιον καὶ αὐτὸν τὸν ἀποκρισιάριον τοῦ ῥηθέντος κυροῦ δουκὸς καὶ τοῦ κουμουνίου, ὡς ἀπὸ τῆς ἐνεστώσης ταύτης ἡμέρας μέχρι καὶ χρόνων ἑπτὰ πλησιαζόντων τρέβαι τε καὶ λαμπροτάτη ὁμόνοια μεταξὺ τῆς βασιλείας αὐτοῦ καὶ τοῦ αὐτοῦ κυροῦ δουκὸς καὶ τοῦ κουμουνίου διαμείνωσιν, ἐμφαντικώτερον ἐπικυρουμένων τε καὶ βεβαιουμένων μέχρι καὶ τῆς ῥηθείσης διωρίας καὶ τῶν προγεγονυιῶν τρεβῶν κατὰ τὸ ἀπὸ τῆς γεννήσεως τοῦ κυρίου χιλιοστὸν τριακοσιοστὸν τριακοστὸν ἔτος τῆς πεντεκαιδεκάτης ἰνδικτιῶνος, ἡμέρᾳ σαββάτου, πέμπτῃ τοῦ ἰουλίου μηνὸς καὶ ἄλλων παρῳχηκότων πρὸ αὐτῶν, περὶ ὧν ἐν αὐταῖς ταῖς τελευταίαις τρέβαις ἐμπεριείληπται, σὺν πᾶσι καὶ τοῖς καθ' ἕκαστον κεφαλαίοις συμφωνίαις τε καὶ ἐμφάσεσι καὶ προσθήκαις ταῖς ἐμπεριειλημμέναις ἐν αὐταῖς, ὡς καὶ ἐς δεῦρο εἴωθε γίνεσθαι. ἔτι γε μὴν περὶ τῶν ζημιῶν τῶν τοῖς Βενετίκοις γενομένων καὶ τοῖς πιστοῖς τοῦ ῥηθέντος κυροῦ δουκὸς ὑπὸ τοῦ δήμου καὶ τῶν ὑποτεταγμένων τῇ βασιλείᾳ αὐτοῦ συνεφώνησέ τε καὶ ἐπηγγείλατο ἡ βασιλεία αὐτοῦ δοῦναί τε καὶ ἀποφλῆσαι τῷ ῥηθέντι κυρῷ δουκὶ καὶ τῷ κουμουνίῳ τῆς Βενετίας παρρησίᾳ ἐν τῇ Κωνσταντινουπόλει ὑπέρπυρα χρυσοῦ χιλιάδας δεκαεννέα πολιτευόμενα εὔσταθμα, ἐξ ὧν δὴ δέδωκε καὶ ἀπώφλησε τῷ αὐτῷ πρέσβει τῷ ἐπ' ὀνόματι τοῦ κυροῦ δουκὸς καὶ τοῦ κουμουνίου ὑπέρπυρα τετρακισχίλια, τὸ δὲ περιλειφθὲν, ὅπερ ἐστὶ πεντεκαίδεκα χιλιάδες, ὑπισχνεῖται δοῦναί τε καὶ ἀποτιννύναι τῷ ῥηθέντι κυρῷ

Ε.Κ.Δ. της Κ.Π. ΙΩΑΝΝΙΝΑ 2006

δουκὶ καὶ τῷ κουμουνίῳ τῆς Βενετίας ἀπάρτι ἕως χρόνων πέντε τελειωμένων, τοῦτ' ἔστιν ὑπέρπυρα κατ' ἔτος τρισχίλια μέχρι τῆς πεπληρωμένης ἱκανώσεως τοῦ διαληφθέντος ποσοῦ. δέδωκέ τε προσέτι καὶ ἀπώφλησε τῷ ῥηθέντι πρέσβει ἕνεκεν τοῦ εὐγενοῦς ἀνδρὸς κυροῦ Νικολάου τοῦ Πιζανοῦ, πολίτου τῆς Βενετίας, φλωρία ἑξακόσια, ἅπερ οἱ ἄνθρωποι τῆς βασιλείας αὐτοῦ παρὰ τῶν ἀνθρώπων τοῦ ῥηθέντος κυροῦ Νικολάου ἔσχον ἐν τῇ Ἄρτῃ. τῷ παρόντι τοίνυν συνθήματι ἐπαφίησί τε καὶ παρατρέχει ἡ βασιλεία αὐτοῦ πᾶσαν βλάβην καὶ ζημίαν ἐπαχθεῖσαν παρὰ τοῦ κουμουνίου τῆς Βενετίας ἢ τῶν αὐτῆς κεφαλῶν ἢ οἱωνδήτινων ἐνόχων τε καὶ ὑποτεταγμένων αὐτῇ τοῖς πιστοῖς τε καὶ ὑπηκόοις τῇ βασιλείᾳ αὐτοῦ, καὶ περὶ αὐτῶν εἰς τὸ διηνεκὲς ἀθωοῖ αὐτόν τε τὸν ῥηθέντα δούκαν καὶ τοὺς αὐτοῦ ἕως τῆς σήμερον. ὁμοιοτρόπως δὲ καὶ ὁ προρρηθεὶς πρέσβυς διασκεδάζει τε καὶ ἀποπέμπει πάσας βλάβας καὶ ζημίας προσεπαχθείσας τοῖς Βενετίκοις, τῷ δήμῳ τῆς βασιλείας αὐτοῦ περὶ αὐτῶν μέχρι καὶ νῦν, ἀθωῶν τὴν βασιλείαν αὐτοῦ καὶ τὸν ὑπὸ ταύτῃ λαὸν ἕως τῆς ἐνεστώσης ἡμέρας, σωζομένου μέντοι τοῦ μὴ τοῖς προρρηθεῖσιν ἀνθίστασθαι, ὥστε τοὺς Βενετίκους τοὺς τὴν ζημίαν δεξαμένους ὑπὸ τῶν Ῥωμαίων ἢ ὑπηκόων τῇ βασιλείᾳ αὐτοῦ ἀπὸ τοῦ καιροῦ τοῦ εὐγενοῦς ἀνδρὸς τοῦ πρὸ μικροῦ σταλέντος ἀπὸ τῆς Βενετίας πρέσβεως Ἰωάννου τοῦ Γραδονίκου κατὰ τὸ χιλιοστὸν τριακοσιοστὸν τεσσαρακοστὸν ἀπὸ τῆς Χριστοῦ γεννήσεως ἔτος τοῦ μαρτίου μηνὸς ἔμπροσθεν μὴ ὑφορᾶσθαι διὰ τῆς παρούσης τρέβας ἀνειμένον εἶναι τὸ δίκαιον αὐτῶν, ἀλλὰ μᾶλλον σῶον καὶ ὑγιὲς καὶ αἰτεῖσθαι ὀφειλόμενον κατὰ τὴν τῆς τρέβας ἔνδειξιν. ἅπερ δὴ πάντα καὶ καθέκαστον τὰ προρρηθέντα ἡ βασιλεία αὐτοῦ τῶν γραφῶν ἁψαμένη ὤμοσεν εἰς τὰ ἅγια τοῦ θεοῦ εὐαγγέλια παρόντος καὶ αὐτοῦ τοῦ πρέσβεως, ὁμοίως καὶ οὗτος σύνδικος καὶ ἐπίτροπος στεργόμενος εἰς τὴν ψυχὴν τοῦ ῥηθέντος κυροῦ δουκὸς καὶ τῶν ἀνθρώπων τοῦ κουμουνίου τῆς Βενετίας ὤμοσε καὶ προσεπηγγείλαντο ἀμφότεροι, ὥστε ἀσφαλῆ τε καὶ ἀμετακίνητα ἔχειν καὶ κρατεῖν, πληροῦν τε καὶ πληροῦσθαι ποιεῖν καὶ παρατηρεῖν καὶ μὴ ἀντιπράξαι ἢ παραχωρῆσαι δι' αὐτῶν ἢ δι' ἄλλου μηχανῇ τινι ἢ αἰτίᾳ ἀπὸ δικαίου ἢ πράξεως ὑπὸ ἐνεχύρῳ πάντων τῶν ἀγαθῶν τῆς βασιλείας αὐτοῦ καὶ τοῦ κουμουνίου τῆς Βενετίας, τῶν παρόντων τε καὶ μελλόντων, ἧς δὴ πράξεως εἰς μαρτυρίαν καὶ ἐπικύρωσιν πάντων



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΜΗΜΑ ΦΙΛΟΣΟΦΙΑΣ ΠΑΙΔΑΓΩΓΙΚΗΣ ΨΥΧΟΛΟΓΙΑΣ
Ε.Υ.Α. τ.Φ.Π. Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

τῶν προρρηθέντων γενέσθαι ἔταξαν δι' ἐμοῦ νοταρίου τοῦ ὑπογεγραμμένου γεγράφθαι δύο συμβόλαια συναινοῦντα, τὸ μὲν ἐν διαμεῖναι ὀφεῖλον παρὰ τῷ ἁγίῳ βασιλεῖ, τὸ δ' ἕτερον ἀποδοθῆναι τῷ διαληφθέντι πρέσβει, ἅπερ δὴ συμβόλαια ὁ ἅγιος βασιλεὺς τῇ οἰκείᾳ χειρὶ ὑπογράφας ἐρυθροῖς γράμμασι προσέταξε ταῦτα καὶ βούλλῃ χρυσῇ ἀσφαλῶς ἐπικυρωθῆναι. γέγονεν οὖν ἐν τῇ ἐνδόξῳ καὶ θεοφυλάκτῳ Κωνσταντινουπόλει, ἐν τῷ θείῳ τῶν Βλαχερνῶν παλατίῳ, παρόντων τοῦ τε κυροῦ Κωνσταντίνου τοῦ Ἀσὰν, κυροῦ Γεωργίου τοῦ μεγάλου στρατοπεδάρχου, κυροῦ Δημητρίου τοῦ Παρακοιμωμένου, τῶν θείων τῆς βασιλείας αὐτοῦ, κυροῦ Νικηφόρου μεγάλου πριμμικηρίου τοῦ Βασιλικοῦ, κυροῦ Γεωργίου Δούκα μεγάλου δρουγγαρίου τοῦ Ἀποκαύκου, κυροῦ Ἰωάννου μεγάλου ἄρχοντος τοῦ Παρασφονδύλου καὶ ἄλλων μαρτύρων εἰς τοῦτο ἐπικληθέντων τῷ ἀπὸ τῆς γεννήσεως τοῦ κυρίου χιλιοστῷ τριακοσιοστῷ τεσσαρακοστῷ δευτέρῳ ἔτει τῆς δεκάτης ἰνδικτιῶνος κατὰ τὴν εἰκοστὴν πέμπτην τοῦ μαρτίου μηνός †.

Μηνὶ ἀπριλλίῳ ἰνδ. ι' †.

*Ego Andreas de Firmo, imperiali auctoritate notarius et ducatus Venetiarum scriba, predictis omnibus interfui, et ea de uoluntate tam dicti domini imperatoris, quam dicti ambaxatoris scripsi et in publicam formam redegi.*

*Orig. membr. tabullarii Veneti. Versio latina, ad dextram. Aurea bulla avulsa.*

## XXVII. (6858) 1349. 9. septembris ind. III.

*Imperatores Ioannes Cantacuzenus et Ioannes Palaeologus confirmant atque prorogant pactiones praecedentes cum Venetis factas.*

† Ἐν ὀνόματι κυρίου, ἀμήν †.

† Ἰωάννης, ἐν Χριστῷ τῷ θεῷ πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ Ῥωμαίων ὁ Καντακουζηνὸς, καὶ Ἰωάννης ἐν Χριστῷ τῷ θεῷ πιστὸς βασιλεὺς καὶ αὐτοτράτωρ Ῥωμαίων ὁ Παλαιολόγος. ἐπεὶ πρὸς αὐτοὺς ἀμφοτέρους τοὺς γαληνοτάτους αὐθέντας καὶ βασιλεῖς καὶ ἑκάτερον αὐτῶν ὁ ἐπιφανὴς ἀνὴρ, κῦρ Ἀνδρέας Δάνδουλος, ὁ τῆς Βενετίας, Δαλματίας τε καὶ Χαλβατίας κλεινὸς δοὺξ καὶ κύριος τῶν ἄλλων χωρῶν καὶ νήσων τῶν τῷ αὐτοῦ δουκάτῳ ὑποτεταγμένων, ἔπεμψε τὸν ἐξαίρετον καὶ περίβλεπτον ἄνδρα κῦρ Ζαχαρίαν Κονταρῖνον, ἑαυτοῦ τε καὶ

τοῦ οἰκείου κομουνίου τῆς Βενετίας ἔντιμον πρεσβευτήν, ἐπίτροπόν τε καὶ σύνδικον, ἔχοντα πλήρη, καθαρὰν καὶ ἐλευθέραν ἐξουσίαν μετ' ἐλευθέρου καὶ ἐντελοῦς ὁρισμοῦ τοῦ τε ἐπεξεργάζεσθαι, ποιήσειν, συνθήσεσθαι, ἐπικυρώσειν τε καὶ πληρώσειν τρέβαν μέσον τῶν διαληφθέντων γαληνοτάτων αὐθεντῶν καὶ βασιλέων καὶ τῆς βασιλείας αὐτῶν καὶ τοῦ προρρηθέντος ἐπιφανοῦς ἀνδρός, κῦρ Ἀνδρέου Δανδούλου, κλεινοῦ δουκός, καὶ τοῦ κομουνίου αὐτοῦ τῆς Βενετίας, καθάπερ ἐμφαίνεται ἐν τῷ δημοσίῳ γράμματι τῷ γραφέντι διὰ χειρὸς τοῦ Ἀμαδέου ντὲ Μποντγαδάνοις, βασιλικῇ ἀδείᾳ δημοσίου νοταρίου καὶ γραμματέως τοῦ δουκάτου τῆς Βενετίας κατὰ τὸ παρὸν ἔτος τε καὶ τὴν ἴνδικτον, καὶ μεταξὺ τῶν προρρηθέντων αὐθεντῶν καὶ βασιλέων καὶ τοῦ δηλωθέντος ἀποκρισιαρίου κῦρ Ζαχαρίου τοῦ Κονταρίνου τῷ ὀνόματι καὶ δικαίῳ τοῦ τοιούτου ἐπιφανοῦς κῦρ δουκὸς καὶ τοῦ κομουνίου Βενετίας καὶ ὑπὲρ αὐτῶν ἐπὶ τοῖς προρρηθεῖσιν ὁμιλίαι, λόγοι τε καὶ ἐπεξεργάσεις ὅτι πλεῖσται κεκίνηνται, τελευταῖον αὐτοὶ οἱ γαληνότατοι αὐθένται καὶ βασιλεῖς ἄμφω ὁμοῦ καὶ ἑκάτερος αὐτῶν κατ' ἰδίαν καὶ δι' ἑαυτῶν τε καὶ τῶν κληρονόμων καὶ διαδόχων αὐτῶν καὶ ὁ τοιοῦτος κῦρ ἀποκρισιάριος τῷ ὀνόματι καὶ δικαίῳ τοῦ δηλωθέντος κῦρ δουκὸς καὶ τοῦ κομουνίου τῆς Βενετίας ὑπὲρ αὐξήσεως εἰρηνικῆς γαλήνης καὶ βεβαιώσεως τῆς εἰωθυίας ἀγάπης συνεφώνησαν ὁμοῦ καὶ προσεδέξαντο, κατένευσάν τε καὶ ἠθέλησαν, ἐπικυρώσαντες ὁμοψύχῳ γνώμῃ καὶ στοργῇ, ἵνα ἀπὸ τοῦ νῦν μέχρι καὶ πέντε χρόνων, ἀρχομένων κατὰ τὴν ἡμέραν τῆς παρούσης συμβιβάσεως καὶ εἰς τὸ ἔμπροσθεν ἐλευσομένων, μεταξὺ αὐτῶν τε καὶ τῆς βασιλείας αὐτῶν καὶ τῶν ἀνθρώπων αὐτῶν καὶ αὐτοῦ τοῦ κῦρ δουκὸς καὶ τοῦ κουμουνίου Βενετίας καὶ τῶν ἀνθρώπων αὐτῶν τρέβα συνίστασθαι ὀφείλῃ, διαμένουσα μετ' εἰλικρινοῦς ὁμονοίας καὶ βεβαιοῦσα καὶ κρατύνουσα καὶ μέχρι τῆς προρρηθείσης διωρίας ἐμφανέστερον ἐπικυροῦσα τὴν τελευταίαν τρέβαν τὴν νεωστὶ μὲν παρελθοῦσαν, πρὸ μικροῦ δὲ συντεθεῖσαν μέσον τοῦ προρρηθέντος γαληνοτάτου αὐθέντου καὶ βασιλέως κῦρ Ἰωάννου τοῦ Παλαιολόγου καὶ τοῦ εὐγενοῦς καὶ φρονίμου ἀνδρὸς κυροῦ Πέτρου ντὲ Κανάλη ἐκείνου, τοῦ τηνικαῦτα ἐντίμου ἀποκρισιαρίου τῆς εὐτυχοῦς μνήμης τοῦ κῦρ Βαρθολομαίου Γραδονίκου ἐκείνου, τοῦ κατ' ἐκεῖνον τὸν καιρὸν ἐπιφανοῦς δουκὸς Βενετίας, καὶ τοῦ κομουνίου αὐτοῦ κατὰ τὸ ἀπὸ τῆς τοῦ κυρίου γεννήσεως χιλιοστὸν



ΕΡΓΑΣΤΗΡΙΟ ΜΕΣΑΙΩΝΙΚΗΣ ΦΙΛΟΛΟΓΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΔΙΕΥΘΥΝΣΗ: ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΘΕΟΛΟΓΙΤΗΣ
Ε.Ι.Α της Κ.τ.Γ. ΙΩΑΝΝΙΝΑ 2006

τριακοσιοστὸν τεσσαρακοστὸν δεύτερον ἔτος τῆς δεκάτης ἰνδικτιῶνος τῇ εἰκοστῇ πέμπτῃ ἡμέρᾳ τοῦ μαρτίου μηνός, οὐχ ἥκιστα δὲ καὶ τὰς πρὸ αὐτῆς παρελθούσας ἑτέρας τρέβας μετὰ πάντων καὶ ἑκάστων τῶν κεφαλαίων, ὑποθέσεων, συμφωνιῶν τε καὶ συνθηκῶν καὶ δηλοποιήσεων καὶ ἐπαγγελιῶν, προσέτι δὲ καὶ ἐπικυρώσεων καὶ τῶν τῆς καταδίκης προσθηκῶν τῶν ἐν αὐταῖς ἐμπεριειλημένων, καθὰ δὴ μέχρι καὶ ἐς δεῦρο εἴωθε γίνεσθαι, ἐπαγγελλόμενοι οἱ τοιοῦτοι αὐθένται καὶ βασιλεῖς ἄμφω ὁμοῦ καὶ ἑκάτερος αὐτῶν κατ' ἰδίαν διὰ συμφωνίας ὑποσχέσει περιφανεῖ κατωχυρωμένης καὶ δι' ἑαυτῶν καὶ τῶν κληρονόμων καὶ διαδόχων αὐτῶν τῷ τοιούτῳ πρεσβευτῇ ἐπαγγελλομένῳ καὶ αὐτῷ καὶ ἀναλαμβάνοντι ταῦτα τῷ ὀνόματι καὶ δικαίῳ τοῦ τοιούτου κυρίου δουκὸς καὶ τοῦ κομουνίου τῆς Βενετίας, δοῦναι καὶ ἀποτῖσαι αὐτῷ τῷ κυρίῳ δουκὶ ἢ τῷ κατὰ καιροὺς ἐσομένῳ καὶ τῷ κουμουνίῳ τῆς Βενετίας ἕνεκεν τῶν ἐπενεχθεισῶν τοῖς Βενετίκοις καὶ τοῖς ὑποτεταγμένοις αὐτῷ τῷ ἐπιφανεῖ κῦρ δουκὶ καὶ τῷ κομουνίῳ τῆς Βενετίας ζημιῶν παρά τε τοῦ λαοῦ καὶ τῶν ὑποτεταγμένων τῇ βασιλείᾳ αὐτῶν τριακοντατέσσαρας χιλιάδας χρυσῶν ὑπερπύρων πολιτευομένων εὐστάθμων τῆς Κωνσταντινουπόλεως, ἤγουν δώδεκα χιλιάδας ὑπερπύρων, ἅπερ ἐλοιπάσθη τε καὶ λοιπάζεται ἡ βασιλεία ἐπὶ τῷ ἀπεκβαλεῖν ἀπὸ τῶν δεκαεννέα χιλιάδων τῶν ἐν αὐτῇ τῇ τρέβᾳ ἐμπεριειλημμένων καὶ δύο καὶ εἴκοσι χιλιάδας ὑπερπύρων ἕνεκεν τῶν δοθεισῶν ζημιῶν παρά τε τοῦ δήμου καὶ τῶν ὑπηκόων τῇ βασιλείᾳ αὐτῶν μετὰ τὸ γενέσθαι τὴν τελευταίαν τρέβαν ὑπὸ ἐνοχοποιήσει πάντων τῶν ἀγαθῶν αὐτῶν τε καὶ τῆς βασιλείας αὐτῶν, ἀφ' ὧν δὴ τριακοντατεσσάρων χιλιάδων ὑπερπύρων δεδώκασι καὶ ἀπέτισαν τῷ τοιούτῳ κῦρ ἀποκρισιαρίῳ τῷ ἐπαγγελλομένῳ καὶ ἀναλαμβάνοντι ταῦτα τῷ προρρηθέντι ὀνόματι ὑπέρπυρα πεντακισχίλια καὶ ἑξακόσια ἑξηκονταεπτά, τὸ δ' ὑπόλοιπον, ὅπερ ἐστὶν ὑπερπύρων εἰκοσιοκτὼ χιλιάδες καὶ τριακόσια τριακοντατρία, δοῦναι καὶ ἀποτῖσαι ἐπηγγείλαντο δι' ἑαυτῶν καὶ τῶν κληρονόμων καὶ διαδόχων αὐτῶν αὐτῷ τῷ ἐπιφανεῖ κῦρ δουκὶ καὶ τῷ κομουνίῳ τῆς Βενετίας μέχρι καὶ πέντε χρόνων πλησίων ἐλευσομένων, τοῦτ' ἔστι τὸ ἕκτον τῶν ῥηθεισῶν εἰκοσιοκτὼ χιλιάδων ὑπερπύρων καὶ τριακοσίων τριακοντατριῶν ἀπὸ τῆς σήμερον ἡμέρας μέχρι καὶ χρόνου ἑνὸς καὶ τοῦτον τὸν τρόπον κατὰ διαδοχὴν ἔτους, ἄχρις ἂν γένοιτο ἱκανοποίησις ἐντελὴς πάντων τῶν προρρηθέν-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Ε.Ν.Φ. της Κ. τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

των ὑπ' ἐνοχοποιήσει τῇ προρρηθείσῃ· ᾧπερ δὴ ἀποκρισιαρίῳ τῷ δηλωθέντι τῷ ἐπαγγελλομένῳ καὶ ἀναλαμβάνοντι ταῦτα τῷ ὀνόματι καὶ δικαίῳ τοῦ τοιούτου ἐπιφανοῦς κῦρ δουκὸς καὶ τοῦ κομουνίου τῆς Βενετίας οἱ διαληφθέντες γαληνότατοι αὐθένται καὶ βασιλεῖς ἄμφω ὁμοῦ καὶ ἑκάτερος αὐτῶν κατ' ἰδίαν καὶ δι' ἑαυτῶν, ὡς δεδήλωται, ἀφῆκαν διὰ τῆς παρούσης συμφωνίας καὶ ἠκύρωσαν καὶ ἀπήλειψαν πάσας τὰς ἀδικίας, τά τε βάρη καὶ προσκόμματα καὶ ζημίας τὰς παρὰ τοῦ κομουνίου τῆς Βενετίας ἢ τῶν κεφαλατικευόντων εἰς ὄνομα τοῦ τοιούτου κῦρ δουκὸς καὶ τοῦ ῥηθέντος κομουνίου τῆς Βενετίας καὶ οἱωνδήτινων ἑτέρων ἐνόχων καὶ ἀρχόντων καὶ ὑποκειμένων αὐτῷ ἐπενεχθείσας αὐτοῖς τοῖς γαληνοτάτοις αὐθένταις καὶ βασιλεῦσιν ἢ θατέρῳ αὐτῶν καὶ τῇ βασιλείᾳ αὐτῶν, ἔτι γε μὴν καὶ τοῖς πιστοῖς καὶ ὑποτεταγμένοις αὐτοῖς μέχρι τῆς πέμπτης ἡμέρας τοῦ νεωστὶ παρελθόντος ἰουλίου μηνός, ἐλευθεροῦντες καὶ ἀπολύοντες, οὐχ ἥκιστα δὲ καὶ ἐλευθέρους καὶ ἀπολελυμένους εἰς τὸ διηνεκὲς εἶναι βουλόμενοί τε καὶ διοριζόμενοι τόν τε διαληφθέντα ἐπιφανῆ κῦρ δοῦκα καὶ τὸ κομούνιον Βενετίας καὶ τοὺς αὐτοῦ πάντας ἐκ πασῶν τῶν προρρηθεισῶν ζημιῶν, ἀδικιῶν τε καὶ ἐπαχθειῶν καὶ τῶν προσκομμάτων καὶ ποιοῦντες τῷ διαληφθέντι κῦρ ἀποκρισιαρίῳ τῷ ἐπαγγελλομένῳ καὶ ἀναλαμβάνοντι ταῦτα τῷ πολλάκις ῥηθέντι ὀνόματι τέλος, ἐλευθερίαν τε καὶ ἄφεσιν καὶ ἀπόφλησιν, συμφωνίαν τε καὶ ἐπαγγελίαν τοῦ μὴ μνησθῆναί τινος τῶν προρρηθέντων εἰς τὸ ἑξῆς ἢ ζητῆσαί τι τῷ αὐτῷ κυρῷ δουκὶ καὶ τῷ κομουνίῳ τῆς Βενετίας. τὸν ὅμοιον τοίνυν τρόπον καὶ ὁ τοιοῦτος κῦρ ἀποκρισιάριος τῷ δηλωθέντι ὀνόματι ἀφῆκέ τε καὶ ἠκύρωσε καὶ ἀπήλειψε πάσας τὰς ἀδικίας, τά τε βάρη καὶ τὰ προσκόμματα καὶ τὰς ζημίας τὰς πᾶσι τοῖς Βενετίκοις ἤ τινι αὐτῶν ἐπενεχθείσας παρά τε τοῦ δήμου καὶ τῶν ὑποτεταγμένων τῇ βασιλείᾳ αὐτῶν, ἀπόφλησιν ποιῶν καὶ ἐλευθερῶν καὶ ἀπολύων αὐτοὺς τοὺς γαληνοτάτους αὐθέντας καὶ βασιλεῖς καὶ τὸν λαὸν αὐτῶν ἀπὸ τῆς βλάβης τε καὶ τῶν προρρηθεισῶν ζημιῶν μέχρι καὶ τῆς ῥηθείσης πέμτης ἡμέρας τοῦ τοιούτου ἰουλίου μηνός. πλὴν οὐ νοεῖν χρή, ὡς διὰ τῆς παρούσης συμφωνίας ἢ τρέβας συμβιβάσεις τινὲς ἢ γράμματα ἢ συνθῆκαι ἢ συμφωνίαι, ὧν τῇ δυνάμει Ῥωμαῖοί τινὲς πιστοί τε καὶ ὑποκείμενοι τῇ βασιλείᾳ αὐτῶν ὀφείλοντες καὶ ἐνεχόμενοι Βενετίκοις τισὶ πιστοῖς καὶ ὑποτεταγμένοις

τῷ ῥηθέντι ἐπιφανεῖ κυρῷ δουκὶ καὶ τῷ κομουνίῳ τῆς Βενετίας ἢ τὸ ἀνάπαλιν συμβιβάσεις τινὲς ἢ γράμματα ἢ συνθῆκαι ἢ συμφωνίαι, ὧν τῇ δυνάμει Βενέτικοί τινες ὑποκείμενοι τῷ διαληφθέντι κυρῷ δουκὶ ἢ τῷ κομουνίῳ τῆς Βενετίας ὀφείλοντες καὶ ἐνεχόμενοι Ῥωμαίοις τισὶ πιστοῖς καὶ ὑποκειμένοις τοῖς ῥηθεῖσιν αὐθένταις καὶ βασιλεῦσιν ὀφείλουσι τὰ τοιαῦτα ὅλως εἶναι ἀφειμένα καὶ ἀπηλειμμένα καὶ ἄκυρα, ἀλλὰ μᾶλλον ἐμφανέστερόν τε καὶ καθαρότερον ἐννοεῖν χρὴ διὰ τῆς παρούσης συμφωνίας, ὡς οἱ τοιοῦτοι Βενέτικοι, ὁποιοιδήποτ' ἂν εἶεν, πιστοὶ καὶ ὑποκείμενοι τῷ διαληφθέντι κυρῷ δουκὶ καὶ τῷ κομουνίῳ τῆς Βενετίας δύνασθαι μέλλουσι καὶ ἰσχύειν χρῆσθαι τοῖς ἑαυτῶν δικαίοις καθ' οἱωνδήποτε Ῥωμαίων ὀφειλόντων αὐτοῖς, οἷς δὴ Βενετίκοις καὶ ἑκάστῳ αὐτῶν οἱ τοιοῦτοι γαληνότατοι αὐθένται καὶ βασιλεῖς καὶ ἑκάτερος αὐτῶν ποιῶσι καὶ γίνεσθαι διακελεύωνται ἐλεύθερον δίκαιον ἐξ ὁλοκλήρου, καθὼς ὤφειλον πρότερον καὶ ἔτι ἐνέχονται. ὡσαύτως καὶ οἱ τοιοῦτοι Ῥωμαῖοι, ὁποιοιδήποτ' ἂν εἶεν, πιστοὶ καὶ ὑποκείμενοι τοῖς τοιούτοις αὐθένταις καὶ βασιλεῦσι δύνασθαι μέλλουσι καὶ ἰσχύειν χρῆσθαι τοῖς ἑαυτῶν δικαίοις καθ' οἱωνδήποτε Βενετίκων ὀφειλόντων αὐτοῖς, οἷς δὴ Ῥωμαίοις ὅ τε ῥηθεὶς κῦρ δοὺξ καὶ οἱ μπαΐουλοι αὐτοῦ καὶ ἕτεροι ἔνοχοι καὶ ἄρχοντες οἱ παρ' αὐτοῦ καὶ τοῦ κομουνίου τῆς Βενετίας πανταχοῦ καθιστάμενοι ἐλεύθερον ποιῶσι καὶ γίνεσθαι πράττωσι δίκαιον ἐξ ὁλοκλήρου, καθὼς ὤφειλον πρότερον καὶ ἔτι ἐνέχονται, σωζομένων μέντοιγε πάντοτε καὶ παρατετηρημένων κατὰ τὸ ἀκέραιον τῷ τοιούτῳ κυρῷ δουκὶ καὶ τῷ κομουνίῳ τῆς Βενετίας πάντων τῶν δικαίων τε καὶ τῆς ἀγωγῆς, ἅπερ ἔχειν ἂν δόξειέ τε καὶ δύναιτο ὁ αὐτὸς ἐπιφανὴς κῦρ δοὺξ καὶ τὸ κομμούνιον Βενετίας ἐναντία τοῖς γαληνοτάτοις αὐθένταις καὶ βασιλεῦσι καὶ ἑκατέρῳ ἢ θατέρῳ αὐτῶν καὶ τῇ βασιλείᾳ αὐτῶν ἐν ἑνὶ γράμματι δουκάτων χρυσῶν τριάκοντα χιλιάδων κεφαλαίου τε καὶ καταδίκης καὶ τῶν ἐξόδων καὶ ἐν πᾶσι καὶ ἑκάστοις τοῖς ἐξ αὐτῶν ἀπηωρημένοις, ὃ δὴ γράμμα καὶ χρέος μὴ νοείσθω διὰ τῆς παρούσης συμφωνίας ἢ τρέβας ἀφειμένον ὅλως ἢ ἀπηλειμμένον ἢ ἄκυρον, ἀλλὰ μᾶλλον ἐν τοῖς αὐτοῖς τῇ τε καταστάσει, τῷ δικαίῳ τε καὶ τῇ παγιότητι, ἐν οἷς ἦν καὶ πρὸ τοῦ γενέσθαι τὴν παροῦσαν τρέβαν, βέβαιον καὶ ἀπαρασάλευτον διαμένειν τε καὶ νοεῖσθαι καὶ εἶναι, γραφὲν ὑπὸ τῷ ἀπὸ τῆς ἐνσάρκου οἰκονο-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΕΡΓΑΣΤΗΡΙΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΘΕΟΤΟΚΑΣ
Ε. Α. τ. Κ. Π. ΙΩΑΝΝΙΝΑ 2006

μίας τοῦ κυρίου χιλιοστῷ τριακοσιοστῷ τεσσαρακοστῷ ἔτει κατὰ τὴν εἰκοστὴν ἡμέραν τοῦ αὐγούστου μηνὸς διὰ χειρὸς Πέτρου ντὲ Ἀρένα, πρεσβυτέρου τῆς ἐκκλησίας τοῦ ἁγίου Βαρθολομαίου καὶ νοταρίου τῆς Βενετίας. ἅπερ πάντα καὶ ἕκαστα τὰ προρρηθέντα οἱ δηλωθέντες αὐθένται καὶ βασιλεῖς καὶ ἑκάτερος αὐτῶν δι' ἑαυτοῦ εἰς τὰ ἅγια τοῦ θεοῦ εὐαγγέλια ἁψάμενοι τῶν ἁγίων γραφῶν, παρόντος καὶ τοῦ τοιούτου ἀποκρισιαρίου, καὶ οὗτος πάλιν ὁ τοιοῦτος ἀποκρισιάριος τῷ τοῦ ἐπιτρόπου καὶ συνδίκου ὀνόματι, ἁψάμενος τῶν αὐτῶν ἁγίων γραφῶν, εἰς τὴν ψυχὴν τοῦ διαληφθέντος κυροῦ δουκὸς καὶ τῶν ἀνθρώπων τοῦ κομουνίου τῆς Βενετίας ὤμοσαν καὶ ἐπηγγείλαντο, πρὸς ἀλλήλους βέβαια καὶ κεκυρωμένα ἔχειν τε καὶ κατέχειν καὶ ἀρρήκτως διατηρεῖν καὶ πληροῦν καὶ διατηρεῖσθαι καὶ συμπληροῦσθαι ποιεῖν καὶ κατά τι μὴ ἐναντιωθῆναι τοῖς προρρηθεῖσιν ἢ δι' ἑαυτῶν, ἢ δι' ἑτέρων, λόγῳ ἢ ἔργῳ, τρόπῳ τινὶ ἢ μηχανῇ, δικαίῳ ἢ αἰτίᾳ ὑπ' ἐνοχοποιήσει πάντων τῶν ἀγαθῶν τῶν τοιούτων αὐθεντῶν καὶ βασιλέων καὶ τῆς βασιλείας αὐτῶν καὶ τοῦ ῥηθέντος κυροῦ δουκὸς καὶ τοῦ κομουνίου τῆς Βενετίας, τῶν παρόντων τε καὶ τῶν ἐσομένων. ὧν πάντων εἰς μαρτυρίαν καὶ λαμπροτέραν βεβαίωσιν οἱ δηλωθέντες γαληνότατοι αὐθένται καὶ βασιλεῖς καὶ ἑκάτερος αὐτῶν δι' ἑαυτοῦ καὶ ὁ τοιοῦτος κῦρ ἀποκρισιάριος δύο γενέσθαι δημόσια γράμματα σύμφωνα κατέστησάν τε καὶ διωρίσαντο τῶν προρρηθέντων ἕνεκα, διὰ χειρὸς ἐμοῦ τοῦ πραίτορος τοῦ δήμου τῆς Ῥωμανίας Ἰακώβου Μπαλισταρίου, τῆς ἁγίας βασιλείας νοταρίου, δοθησόμενα τὸ μὲν ἐν τοῖς ῥηθεῖσιν αὐθένταις καὶ βασιλεῦσι, τὸ δὲ ἕτερον τῷ διαληφθέντι κυρῷ ἀποκρισιαρίῳ, ὧνπερ δὴ αὐθεντῶν καὶ βασιλέων ἑκάτερος δι' ἑαυτοῦ τῇ οἰκείᾳ χειρὶ ἐρυθροῖς βασιλικοῖς ὑπέγραψαν γράμμασι καὶ χρυσῆς βασιλικῆς βούλλης ἀπηωρημένης ἐπεκύρωσαν βεβαιώσει. γέγονεν ἐν τῇ Κωνσταντινουπόλει, ἐν τῷ ἱερῷ τῶν Βλαχερνῶν παλατίῳ, ἔτει τῆς κυριακῆς γεννήσεως χιλιοστῷ τριακοσιοστῷ τεσσαρακοστῷ ἐννάτῳ, ἰνδικτιῶνος τρίτης, ἡμέρᾳ ἐνάτῃ τοῦ σεπτεβρίου μηνός, περὶ τὴν ἐνάτην ὥραν, παρόντων μαρτύρων τοῦ τε κυροῦ Θωμᾶ τοῦ Παλαιολόγου, πρωτοσεβαστοῦ, τοῦ Καλοθέτου, μυστικοῦ τοῦ Κιννάμου, Νικολάου Σιγηροῦ τοῦ μεγάλου διερμηνευτοῦ καὶ Ἀλεξίου τοῦ Λάσκαρι διερμηνευτοῦ, κυροῦ Μαρίνου Βιάρου, μαϊούλου, κυροῦ Νικολάου Συγγέλου, κονσελιερίου, κυροῦ Ἰωάννου Μανολέξου, κονσιλιερίου, Βαρ-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΜΗΜΑ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΜΕ ΔΑΠΑΝΗ ΤΟΥ ΙΔΡΥΜΑΤΟΣ ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΘΕΡΕΤΖΟΣ
Ε.Π. της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

θολομαίου ντὲ Ἀρδονίνῳ, Πέτρου τοῦ Κορνερίου καὶ ἄλλων πολλῶν Ῥωμαίων καὶ Λατίνων, ὑπὲρ ὧν δὴ δουκάτων τριάκοντα χιλιάδων ὁ ῥηθεὶς κῦρ δοὺξ καὶ τὸ τοιοῦτον κομούνιον ἔχουσιν εἰς ἐνέχυρον παρὰ τῆς βασιλείας τὰ ἐν τῷ γράμματι τοῦ χρέους ἐμπεριειλημμένα ἐγκόσμια †.

† Ἰωάννης, ἐν Χριστῷ τῷ θεῷ πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ Ῥωμαίων, ὁ Καντακουζηνός †.

† Ἰωάννης, ἐν Χριστῷ τῷ θεῷ πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ Ῥωμαίων, ὁ Παλαιολόγος †.

*Orig. membran. tabullarii Veneti. Versio latina ad dextram. Aureae bullae, olim suspensae serico violaceo, avulsae.*

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

## XXVIII. Sine anno.

*Imperator Ioannes Palaeologus privilegium mercatoribus Narbonensibus concedit.*

† Ἐπεὶ διὰ τοῦ κωνσούλου τῶν Ναρβωνησίων τῶν ἐν τῇ Κωνσταντινουπόλει ἀναστρεφομένων ὡς ἀπὸ μέρους τῆς Ναρβώνης ἡ βασιλεία μου παρεκλήθη, ὅπως τὰς αὐτοῖς παρασχεθείσας ἐξκουσσείας τε καὶ ἐλευθερίας καὶ χάριτας παρὰ τοῦ ἐνδοξοτάτου αὐθέντου καὶ πατρός μου, τοῦ ἁγίου βασιλέως ἐκείνου, σεπτῷ χρυσοβούλλῳ [βεβαιώσῃ], καὶ ἡ βασιλεία μου ἄξιον κρίνει ταύτας ἐπικυρῶσαι, τὴν αὐτοῦ προσδεξαμένη εὐμενῶς ἱκεσίαν ὁρίζει καὶ βούλεται, ὅπως αὐτὸ τὸ χρυσόβουλλον καὶ πάντα καὶ καθ' ἕκαστον τὰ ἐν αὐτῷ ἐμπεριειλημμένα τὴν ἐκ τῆς ἡμετέρας δωρεᾶς ἐπικύρωσίν τε κατέχουσι καὶ βεβαίωσιν, καὶ αὐτῶν μέντοιγε ἐκπληρούντων καὶ φυλαττόντων, ὅσα τῇ ἡμετέρᾳ βασιλείᾳ ἐπηγγείλαντο, ἐν αὐτῷ τῷ σεπτῷ χρυσοβούλλῳ διαλαμβανόμενα. ἐκφανέστερον δὲ προστάττει ἡ βασιλεία μου, μή τι καινότερον αὐτοῖς ἐπενεχθῆναι ἕνεκα τοῦ μεγέθους τοῦ μέτρου τῶν πηχέων μήτε μὴν τινος ἄλλης αἰτίας, εἰ μὴ καθάπερ γέγονεν, ὅτε τὸ διαληφθὲν χρυσόβουλλον παρεσχέθη αὐτοῖς. εἰς οὗ δὴ πράγματος μνήμην τε καὶ ὀχύρωσιν τῷ παρόντι σεπτῷ χρυσοβούλλῳ γράμμασιν, ὡς ἔθος, ἐρυθροῖς ὑπογράψας καὶ βούλλῃ χρυσῇ τῆς βασιλείας μου κραταιωθῆναι προσέταξα †.

† Ἰωάννης, ἐν Χριστῷ τῷ θεῷ πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ Ῥωμαίων, ὁ Παλαιολόγος †.

Ε.Χ.Δ. της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

*Orig. tabullarii Narbonensis, ex quo eruit Steph. Baluzius et edidit Ducange, Familiae byzantinae 239. ed. Paris. et iterum C. E. Zachariae, Ius graeco-romanum 3. 712. Graece et latine. Diploma ponendum inter annos 1355 et 1371.*

## XXIX. 6866—1357. 8. mensis octobris ind. XI.

*Imperator Ioannes Palaeologus prorogat pactiones anteriores cum Venetis factas in annos quinque.*

† Ἰωάννης, ἐν Χριστῷ τῷ θεῷ πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ Ῥωμαίων, ὁ Παλαιολόγος. ἐπεὶ ὁ ἐπιφανὴς καὶ μεγαλοπρεπὴς ἀνὴρ, κῦρ Ἰωάννης Γραδονίκος, ὁ τότε τῆς Βενετίας καὶ Δαλματίας καὶ Χαλβατίας δοὺξ, κύριος τῶν ἄλλων χωρῶν καὶ νήσων τῶν τοῦ αὐτοῦ δουκάτῳ ὑποτεταγμένων, ἀπέστειλεν εἰς τὴν βασιλείαν ἡμῶν τὸν ἐξαίρετον καὶ σοφὸν ἄνδρα κῦρ Ἰωάννην Γραδονίκον εἰς ἔντιμον καὶ περιφανῆ ἀποκρισιάριον, ἐπίτροπόν τε καὶ σύνδικον ἑαυτοῦ τε καὶ τοῦ κομουνίου τῆς Βενετίας, αὐτοῦ ἔχοντα πλήρη καὶ καθαρὰν καὶ ἐλευθέραν ἐξουσίαν μετὰ πλήρους καὶ ἐλευθέρου ὁρισμοῦ τοῦ ἐπεξεργάσασθαι, ποιῆσαι, συστῆσαι, πληρῶσαί τε καὶ ἐπικυρῶσαι τρέβαν μεταξὺ τῆς βασιλείας ἡμῶν καὶ τοῦ ἐπιφανοῦς καὶ μεγαλοπρεποῦς ἀνδρὸς κῦρ Ἰωάννου Γραδονίκου τοῦ ῥηθέντος τηνικαῦτα δουκὸς καὶ τοῦ κομουνίου τῆς Βενετίας, αὐτοῦ, καθὼς ἐμφαίνεται ἐν τῷ δημοσίῳ γράμματι τῷ γραφέντι διὰ χειρὸς τοῦ Νικολάου ντὲ Φαριζαίοις ντὲ Πάλμα, καθολικῇ ἀδείᾳ νοταρίου καὶ γραμματέως τοῦ δουκάτου τῆς Βενετίας, κατὰ τὸ ἀπὸ τῆς κυριακῆς γεννήσεως χιλιοστὸν τριακοσιοστὸν πεντηκοστὸν πέμπτον ἔτος τῇ εἰκοστῇ τρίτῃ ἡμέρᾳ τοῦ σεπτεβρίου τῆς ὀγδόης ἰνδικτιῶνος, καὶ μεταξὺ τῆς βασιλείας ἡμῶν καὶ τοῦ εἰρημένου κῦρ Ἰωάννου Γραδονίκου, ἀποκρισιαρίου τῷ ὀνόματι καὶ δικαίῳ τοῦ ἐπιφανοῦς καὶ μεγαλοπρεποῦς ἀνδρὸς κῦρ Ἰωάννου Δελφίνου, τοῦ νῦν δουκὸς τῆς Βενετίας, καὶ τοῦ κομουνίου τῆς Βενετίας ἐπὶ τοῖς προρρηθεῖσι πολλαὶ ἐπράχθησαν καὶ γεγόνασιν ὁμιλίαι, πολλαί τε ἐπεξεργάσεις καὶ λόγοι, τέλος ἡ βασιλεία ἡμῶν δι' ἑαυτῆς τε καὶ τῶν κληρονόμων καὶ διαδόχων αὐτῆς καὶ ὁ διαληφθεὶς πρέσβυς τῷ δικαίῳ τε καὶ ὀνόματι τοῦ τοιούτου κῦρ δουκὸς καὶ τοῦ κομουνίου τῆς Βενετίας διά τε ἐπίδοσιν εἰρηνικῆς καταστάσεως καὶ

βεβαίωσιν τῆς εἰωθυίας ἀγάπης συνεφωνήσαμεν ἅμα, ἐστέρξαμεν, ἐπενεύσαμεν, ἠθελήσαμεν ὁμοψύχως καὶ ἐκ συμφώνου ἐπεστηρίξαμεν ἀπὸ τοῦ νῦν ἄχρις ἐτῶν πέντε, ἀρχομένων ἀπὸ τῆς παρούσης συμβιβάσεως καὶ ἐγγὺς ἐπερχομένων, συνίστασθαι τρέβαν μεταξύ τε ἡμῶν καὶ τῆς βασιλείας ἡμῶν καὶ τοῦ ἡμετέρου λαοῦ καὶ αὐτοῦ τοῦ κῦρ δουκὸς καὶ τοῦ κουμουνίου τῆς Βενετίας καὶ τοῦ λαοῦ αὐτοῦ, διαμεῖναι ὀφείλουσαν μετὰ καθαρᾶς ὁμονοίας, ἐπικυροῦσαν, βεβαιοῦσαν, ἐπαινοῦσάν τε καὶ προσδεχομένην καθαρῶς μέχρι τῆς εἰρημένης διωρίας τὴν τελευταίαν τρέβαν, τὴν νεωστὶ μὲν πληρωθεῖσαν, γεγονυῖαν δὲ ἐνταῦθα ἐν τῇ Κωνσταντινουπόλει κατὰ τὸ ͵α τ μ θ' ἔτος τῆς τρίτης ἰνδικτιῶνος, τῇ θ' ἡμέρᾳ τοῦ σεπτεβρίου μηνὸς περὶ τὴν ἐνάτην ὥραν, προσκυροῦσάν τε καὶ τὰς ἄλλας τὰς πρὸ αὐτῆς παρελθούσας μετὰ πάντων καὶ ἑκάστων κεφαλαίων, τρόπων τε καὶ συνθηκῶν καὶ συμφωνιῶν καὶ δηλοποιήσεων καὶ ἐπαγγελιῶν καὶ ἐπιστηρίξεων καὶ προσθηκῶν ἀναλογιῶν τῶν ἐν αὐταῖς ἐμπεριειλημμένων, καθὼς ἄχρι τοῦ νῦν εἴωθε γίνεσθαι, ἐπαγγελλομένης τῆς βασιλείας ἡμῶν διὰ συμφωνίας, ἐντελεῖ ὑποσχέσει βεβαιωθείσης διά τε ἑαυτῆς καὶ τῶν κληρονόμων καὶ διαδόχων αὐτῆς τῷ τοιούτῳ ἀποκρισιαρίῳ τῷ ὑποσχομένῳ καὶ παραλαμβάνοντι ταῦτα τῷ δικαίῳ καὶ ὀνόματι τοῦ τοιούτου δουκὸς καὶ τοῦ κομουνίου τῆς Βενετίας, δοῦναι καὶ ἀποφλῆσαι αὐτῷ τῷ κῦρ δουκὶ ἢ τῷ κατὰ καιροὺς ἐσομένῳ καὶ τῷ κομουνίῳ τῆς Βενετίας ὑπερπύρων εἰκοσιοκτὼ χιλιάδας καὶ τριακόσια τριάκοντα τρία χρυσᾶ, αἵτινες ἐμπεριλαμβάνονται ἐν αὐτῇ τῇ τελευταίᾳ τρέβᾳ, ἅσπερ ἐναπελείφθη τότε ἡ βασιλεία, καὶ λείπεται νῦν ἀποτῖσαι τῷ εἰρημένῳ κῦρ δουκὶ καὶ τῷ κομουνίῳ τῆς Βενετίας ὑπὸ ὑποθήκῃ πάντων τῶν ἀγαθῶν ἡμῶν καὶ τῆς βασιλείας ἡμῶν, ἀφ' ὧν δὴ εἰκοσιοκτὼ χιλιάδων καὶ τριακοσίων τριάκοντα τριῶν ὑπερπύρων ἔδωκε καὶ ἀπέτισεν ἡ βασιλεία ἡμῶν τῷ ῥηθέντι ἀποκρισιαρίῳ, ἐπαγγελλομένω καὶ λαμβάνοντι ταῦτα τῷ προρρηθέντι ὀνόματι ὑπερπύρων τρεῖς χιλιάδας χρυσᾶς, τὸ δὲ ἐναπολειφθὲν, ὅπερ ἐστὶν ὑπερπύρων εἰκοσιπέντε χιλιάδες καὶ τριακόσια τριάκοντα τρία ὑπέρπυρα, ἐπηγγείλατο δοῦναι καὶ ἀποφλῆσαι δι' ἑαυτῆς τε καὶ τῶν κληρονόμων καὶ διαδόχων αὐτῆς αὐτῷ τῷ ἐπιφανεῖ κῦρ δουκὶ καὶ τῷ κομουνίῳ τῆς Βενετίας ἄχρι καὶ πέντε χρόνων πλησίον ἐλευσομένων, τὸ πέμπτον δηλονότι τῶν τοιούτων ὑπερπύρων ἀπὸ τῆς σήμερον ἡμέ-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΣΗ: Π. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε. Δ. τη Κ. Π. ΙΩΑΝΝΙΝΑ 2006

ρας ἕως ἑνὸς χρόνου καὶ οὕτω κατὰ διαδοχὴν ἐτησίως ἄχρις ἐντελοῦς ἱκανοποιήσεως πάντων τῶν προρρηθέντων ὑπὸ τῇ διαληφθείσῃ ὑποθήκῃ, ᾧπερ δὴ ἀποκρισιαρίῳ τῷ ἐπαγγελλομένῳ καὶ παραλαμβάνοντι ταῦτα τῷ ὀνόματι καὶ δικαίῳ τοῦ ἐπιφανοῦς κῦρ δουκὸς καὶ τοῦ τοιούτου κομουνίου τῆς Βενετίας ἀφῆκεν, ἐξουδένωσε καὶ ἀπήλειψεν ἡ βασιλεία ἡμῶν διὰ τῆς παρούσης συμφωνίας πάσας τὰς ἐπηρείας, τὰ βάρη τε καὶ τὰ προσκόμματα καὶ τὰς ζημίας τὰς ἐπαχθείσας παρὰ τοῦ κομουνίου τῆς Βενετίας, ἔτι δὲ καὶ τῶν κεφαλάδων τοῦ τοιούτου κῦρ δουκὸς καὶ τοῦ κομουνίου τῆς Βενετίας ἢ παρ' οἱωνδήτινων ἄλλων ἐνόχων τε καὶ ὀφφικιαλίων καὶ ὑποκειμένων αὐτοῖς ἡμῖν τε καὶ τῇ βασιλείᾳ ἡμῶν καὶ τοῖς πιστοῖς καὶ ὑποτεταγμένοις ἡμῖν ἄχρι τῆς σήμερον ἡμέρας ἐλευθεροῦσα καὶ ἀπολύουσα καὶ ἐλευθέρους καὶ ἀπολελυμένους εἰς τὸ διηνεκὲς ὑπάρχειν ἐθέλουσά τε καὶ διοριζομένη τόν τε δηλωθέντα ἐπιφανῆ κῦρ δοῦκα καὶ τὸ κομούνιον Βενετίας καὶ τοὺς αὐτοῦ πάντας ἀπὸ πασῶν τῶν εἰρημένων ζημιῶν, τῶν τε ἐπηρειῶν καὶ τοῦ βάρους καὶ τῶν προσκομμάτων, καὶ ποιοῦσα τῷ ῥηθέντι ἀποκρισιαρίῳ τῷ ὑποσχομένῳ καὶ λαμβάνοντι ταῦτα τῷ πολλάκις εἰρημένῳ ὀνόματι τέλος, ἐλευθερίαν, ἄφεσιν καὶ ἀπόφλησιν καὶ ὑπόσχεσιν καὶ συμφωνίαν τοῦ μὴ αἰτήσασθαι τοῦ λοιποῦ ἢ ὑπομνῆσαι τὰ προδηλωθέντα τῷ διαληφθέντι κῦρ δουκὶ καὶ τῷ κομουνίῳ τῆς Βενετίας· καὶ ὁμοιοτρόπως ὁ τοιοῦτος ἀποκρισιάριος τῷ προειρημένῳ ὀνόματι ἀφῆκεν, ἀπήλειψέ τε καὶ ἐξουδένωσε πάσας τὰς ἐπηρείας, τά τε βάρη καὶ τὰ προσκόμματα καὶ τὰς ζημίας τὰς ἐπαχθείσας ἅπασι τοῖς Βενετίκοις ἤ τινι αὐτῶν παρὰ τοῦ λαοῦ καὶ τῶν ὑπηκόων τῇ βασιλείᾳ ἡμῶν, ἀπόφλησιν ποιῶν καὶ ἐλευθερῶν καὶ ἀπολύων ἡμᾶς καὶ τὴν βασιλείαν ἡμῶν καὶ τὸν λαὸν ἡμῶν ἀπὸ τῶν προδιαληφθεισῶν ζημιῶν καὶ τῆς βλάβης ἄχρι τῆς εἰρημένης ἡμέρας. οὐκ ἐννοεῖν δὲ χρὴ διὰ τῆς παρούσης τρέβας καὶ συμφωνίας, ὡς ἐάν τινες εἶεν συμβιβάσεις καὶ γράμματα καὶ συμφωνίαι καὶ συνθῆκαι, ὧν τῇ δυνάμει χρεωστοῦσί τινες Ῥωμαῖοι ὑπήκοοι καὶ πιστοὶ τῇ βασιλείᾳ ἡμῶν Βενετίκοις τισὶ καὶ πιστοῖς καὶ ὑποκειμένοις τῷ τοιούτῳ ἐπιφανεῖ κῦρ δουκὶ καὶ τῷ κομουνίῳ τῆς Βενετίας ἢ ἐκ τοῦ ἀντιστρόφου Βενέτικοί τινες ὑποκείμενοι τῷ δηλωθέντι κῦρ δουκὶ καὶ τῷ κουμουνίῳ τῆς Βενετίας χρεωστοῦσί τισι Ῥωμαίοις πιστοῖς καὶ ὑποτεταγμένοις τῇ βασιλείᾳ ἡμῶν, κατά τινα τρόπον εἶναι

ΕΡΓΑΣΤΗΡΙΟ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΡΓΑΣΤΗΡΙΟ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Ν.Φ. της τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ταῦτα ἀφειμένα, ἄκυρά τε καὶ ἀπηλειμμένα, ἀλλὰ μᾶλλον ἐννοεῖν χρὴ καθαρότερόν τε καὶ σαφέστερον διὰ τῆς παρούσης συμφωνίας, ὡς οἱ τοιοῦτοι οἱοιδήποτε Βενέτικοι ὑποκείμενοί τε καὶ πιστοὶ τῷ εἰρημένῳ κῦρ δουκὶ καὶ τῷ κομουνίῳ τῆς Βενετίας δύνωνται καὶ ἰσχύωσι χρῆσθαι τοῖς δικαίοις αὐτῶν καθ' οἱωνδήτινων Ῥωμαίων ὀφειλόντων αὐτοῖς, οἷς δὴ Βενετίκοις καὶ ἑκάστῳ αὐτῶν ποιῇ ἡ βασιλεία ἡμῶν καὶ γίνεσθαι ποιῇ δίκαιον ἐντελὲς καὶ ὁλόκληρον, καθὼς καὶ πρότερον ὤφειλε καὶ ὀφείλει, κατὰ τὸ ἀκέραιον. τὸν ὅμοιον δὲ τρόπον καὶ οἱ τοιοῦτοι οἱοιδήποτε Ῥωμαῖοι τῆς βασιλείας ἡμῶν δύνωνται καὶ ἰσχύωσι χρῆσθαι τοῖς δικαίοις αὐτῶν καθ' οἱωνδήτινων Βενετίκων ὀφειλόντων αὐτοῖς, οἷς δὴ Ῥωμαίοις ὁ δηλωθεὶς κῦρ δοὺξ καὶ οἱ αὐτοῦ μπαΐουλοι, ἔνοχοί τε καὶ ὀφφικιάλιοι οἱ παρὰ τοῦ τοιούτου δουκὸς καὶ τοῦ κομουνίου τῆς Βενετίας πανταχοῦ καθεστῶτες ποιῶσι καὶ γίνεσθαι ποιῶσι δίκαιον ἐντελὲς καὶ ὁλόκληρον, καθὼς καὶ πρότερον ὤφειλον καὶ ὀφείλουσι, κατὰ τὸ ἀκέραιον, σωζομένων μέντοι καὶ τηρουμένων ἐξ ὁλοκλήρου πάντοτε τῷ τοιούτῳ κῦρ δουκὶ καὶ τῷ κομουνίῳ τῆς Βενετίας πάντων τῶν δικαίων καὶ τῆς ἀγωγῆς, ἅπερ τε καὶ ἣν ἔχει καὶ φαίνεται ἔχων ὁ αὐτὸς ἐπιφανὴς κῦρ δοὺξ καὶ τὸ κομούνιον τῆς Βενετίας κατὰ τῆς βασιλείας ἡμῶν ἐν ἑνὶ γράμματι τριάκοντα χιλιάδων δουκάτων χρυσῶν εἰς κεφάλαιον καὶ τὴν διαφορὰν αὐτῶν, τὰς ἀναλογίας τε καὶ ἐξόδους καὶ πάντα καὶ ἕκαστα τὰ ἐξ αὐτῶν ἀπηωρημένα, καθὼς ἐμπεριείληπται ἐν τῷ γράμματι, ὅπερ δὴ γράμμα καὶ χρέος μὴ νοεῖσθαι διὰ τῆς παρούσης τρέβας καὶ συμφωνίας ἄκυρον εἶναι κατά τινα τρόπον καὶ ἀπηλειμμένον καὶ ἀφειμένον, ἀλλὰ μᾶλλον ἐν τῇ αὐτῇ καταστάσει καὶ τῷ δικαίῳ καὶ τῇ δυνάμει, ἐν οἷς ἦν καὶ πρὸ τῆς κατασκευῆς τῆς παρούσης τρέβας, βέβαιον καὶ ὁλόκληρον διαμένειν καὶ νοεῖσθαι καὶ εἶναι, ὅπερ δὴ γράμμα ἐγράφη κατὰ τὸ ἀπὸ τῆς σαρκώσεως τοῦ κυρίου χιλιοστὸν τριακοσιοστὸν τεσσαρακοστὸν τρίτον ἔτος, τῇ εἰκοστῇ πρώτῃ τοῦ αὐγούστου μηνὸς τῆς ἑνδεκάτης ἰνδικτιῶνος διὰ χειρὸς Πέτρου ντὲ Ἀρένα, πρεσβυτέρου τῆς ἐκκλησίας τοῦ ἁγίου Βαρθολομαίου τῆς Βενετίας, νοταρίου μὲν τῆς Βενετίας, καγγελαρίου δὲ τοῦ κατὰ τὸν καιρὸν ἐκεῖνον μπαΐουλου τῶν Βενετίκων ἐν τῇ Κωνσταντινουπόλει, ὑπὲρ ὧν δῆτα τριάκοντα χιλιάδων δουκάτων χρυσῶν καὶ ἄλλων τῶν ἐν τῷ ῥηθέντι γράμματι ἐμπεριειλημμένων ἔχουσιν

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΕΙΣ ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΘΕΟΔΩΡΙΔΗΣ
ΙΩΑΝΝΙΝΑ 2006

εἰς ἐνέχυρον ὅ τε κῦρ δοὺξ καὶ τὸ κομούνιον Βενετίας παρὰ τῆς βασιλείας ἡμῶν κόσμια τῆς βασιλείας τὰ ἐμπεριειλημμένα ἐν τῷ τοιούτῳ τοῦ χρέους γράμματι, καὶ σωζομένων πάντοτε καὶ τηρουμένων κατὰ τὸ ἀκέραιον τῷ τοιούτῳ κῦρ δουκὶ καὶ τῷ κομουνίῳ τῆς Βενετίας πάντων τῶν δικαίων καὶ τῆς ἀγωγῆς, ἅπερ καὶ ἣν ἔχει ὁ αὐτὸς δοὺξ καὶ τὸ κομούνιον Βενετίας κατὰ τῆς βασιλείας ἡμῶν ἐν δουκάτοις πεντακισχιλίοις χρυσοῖς δανεισθεῖσι τῇ βασιλείᾳ ἡμῶν ἐν τῇ Αἴνῳ παρὰ τοῦ Μαρὶν Φαλὲρ ἐκείνου τῷ ὀνόματι τοῦ τοιούτου κῦρ δουκὸς καὶ τοῦ κομουνίου τῆς Βενετίας, ὑπὲρ ὧν ἔχει ὁ τοιοῦτος δοὺξ καὶ τὸ κομούνιον Βενετίας εἰς ἐνέχυρον παρὰ τῆς βασιλείας ἡμῶν πελάξιον ἕν, οὕτω μέντοι, ὥσθ' ἅμα τῷ ἀπεκβληθῆναι τὰ τοιαῦτα τὰ πεντακισχίλια δούκατα τὰ χρυσᾶ τῷ τοιούτῳ κῦρ δουκὶ καὶ τῷ κομουνίῳ τῆς Βενετίας παρὰ τῆς βασιλείας ἡμῶν ἐνέχεσθαι αὐτοὺς ἀντιστρέφειν τὸ τοιοῦτον πελάξιον τῇ βασιλείᾳ ἡμῶν. ἅπερ πάντα καὶ ἕκαστα τὰ ἀναγεγραμμένα ἡ βασιλεία ἡμῶν, ἀψαμένη τῶν ἁγίων γραφῶν, παρόντος καὶ αὐτοῦ τοῦ ἀποκρισιαρίου ὤμοσεν εἰς τὰ ἅγια τοῦ θεοῦ εὐαγγέλια καὶ εἰς τὴν ψυχὴν ἡμῶν, καὶ ὁ τοιοῦτος ἀποκρισιάριος τῷ ἐπιτροπικῷ καὶ συνδικικῷ ὀνόματι, ἀψάμενος τῶν αὐτῶν ἁγίων γραφῶν, ὁμοίως ὤμοσε καὶ αὐτὸς εἰς τὰ ἅγια τοῦ θεοῦ εὐαγγέλια καὶ εἰς τὴν ψυχὴν τοῦ τοιούτου δουκὸς καὶ τῶν ἀνθρώπων τῆς κοινότητος τοῦ κομουνίου τῆς Βενετίας, καὶ ὑπεσχέθημεν πρὸς ἀλλήλους βέβαια καὶ κεκυρωμένα ἔχειν τε καὶ κρατεῖν καὶ ταῦτα ἀπαραθραύστως τηρεῖν τε καὶ πληροῦν καὶ τηρεῖσθαι καὶ πληροῦσθαι ποιεῖν καὶ μὴ κατά τι ἐναντιωθῆναι ἐν τοῖς προρρηθεῖσιν ἢ ἔν τινι τῶν προρρηθέντων δι' ἡμῶν αὐτῶν ἢ δι' ἄλλου λόγῳ ἢ ἔργῳ, τρόπῳ τινὶ ἢ μηχανῇ; δικαίῳ ἢ αἰτίᾳ, ὑπὸ ὑποθήκῃ πάντων τῶν ἀγαθῶν ἡμῶν τε καὶ τῆς βασιλείας ἡμῶν καὶ τοῦ προδηλωθέντος κῦρ δουκὸς καὶ τοῦ κομουνίου τῆς Βενετίας, ὧν ἔχομέν τε καὶ ἕξομεν. ἐνέχηται μέντοι καὶ ὁ διαληφθεὶς κῦρ δοὺξ ὀμόσαι ὡσαύτως, παρόντος ἀποκρισιαρίου ἢ ἀποκρισιαρίων ἡμῶν, κατὰ τὸν εἰωθότα τρόπον καὶ τὸν ἄνωθεν γεγραμμένον. ὧν πάντων εἰς μαρτυρίαν καὶ σαφεστέραν βεβαίωσιν προσέταξέ τε καὶ κατέστησεν ἡ βασιλεία ἡμῶν δύο συμβόλαια σύμφωνα δημόσια περὶ τῶν προρρηθέντων γενέσθαι τε καὶ γραφῆναι γράμμασι ῥωμαϊκοῖς τε καὶ λατινικοῖς τὴν αὐτὴν περίληψιν ἔχοντα διὰ χειρὸς τοῦ οἰκείου τῇ βασιλείᾳ μου μεγάλου

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΘΕΟΛΟΓΙΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ... ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
Ε.Α. της Κ.Ε.Ι. ΙΩΑΝΝΙΝΑ 2006

ἑταιρειάρχου κῦρ Νικολάου τοῦ Σιγηροῦ, δοθησόμενα τὸ μὲν ἐν τῇ βασιλείᾳ ἡμῶν, τὸ δὲ ἕτερον τῷ τοιούτῳ κῦρ ἀποκρισιαρίῳ, ἅπερ ἡ βασιλεία ἡμῶν τῇ ἰδίᾳ χειρὶ γράμμασι βασιλικοῖς ἐρυθροῖς ὑπέγραφε καὶ χρυσῆς βασιλικῆς βούλλης ἀπῃωρημένης ἀσφαλείᾳ προσεπεκύρωσε. γέγονεν ἐν τῇ μεγάλει πόλει Κωνσταντινουπόλεως, ἐν τῷ ἱερῷ τῶν Βλαχερνῶν παλατίῳ, ἔτει ἀπὸ τῆς τοῦ κόσμου συστάσεως ἑξακισχιλιοστῷ ὀκτακοσιοστῷ ἑξηκοστῷ ἕκτῳ, ἡμέρᾳ ὀγδόῃ τοῦ ὀκτωβρίου τῆς ἑνδεκάτης ἰνδικτιῶνος, ἀπὸ δὲ τῆς γεννήσεως τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἔτει χιλιοστῷ τριακοσιοστῷ πεντηκοστῷ ἑβδόμῳ, παρόντων μαρτύρων ἐκ μὲν τῶν ἀρχόντων Ῥωμαίων τοῦ τε περιποθήτου ἐξαδέλφου τῆς βασιλείας ἡμῶν μεγάλου δομεστίκου κῦρ Δημητρίου τοῦ Παλαιολόγου, τῶν περιποθήτων θείων τῆς βασιλείας ἡμῶν τοῦ τε μεγάλου δομεστίκου κῦρ Ἀλεξίου τοῦ Ἀτουέμη καὶ τοῦ μεγάλου λογοθέτου κῦρ Νικηφόρου Λάσκαρι τοῦ Μετοχίτου, τοῦ περιποθήτου συμπενθέρου τῆς βασιλείας ἡμῶν μεγάλου στρατοπεδάρχου κῦρ Γεωργίου τοῦ Ἀστρᾶ καὶ ἄλλων παρατυχόντων ἐκεῖσε, ἐκ δὲ τῶν Βενετίκων τῶν εὐγενῶν ἀνδρῶν τοῦ τε σὺρ Ἀνδρέου Βενὲρ, τοῦ σὺρ Μαρὶν Ἰουστινιὰν, τοῦ Νικολάου Πιτζαμάνου, τοῦ Ἀνδρέου ντὲ Μπερνάρδω καὶ τοῦ Λεονάρδου Φαλὲρ, πολιτῶν τῆς Βενετίας, ἔτι δὲ καὶ τοῦ Πέτρου Κορνὰρ δραγουμάνου τῶν Βενετίκων ἐν τῇ Κωνσταντινουπόλει †.

† Ἰωάννης, ἐν Χριστῷ τῷ θεῷ πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ Ῥωμαίων, ὁ Παλαιολόγος.

***Orig. membr. tabullarii Veneti. Aurea bulla avulsa. Versio latina ad dextram.***

## XXX. 6869 (1361) mense ianuario ind. XIV.

***Simeon Palaeologus, imperator Romanorum et Serborum, Ioanni Zaffae Ursino Ducae privilegium impertit.***

† Ἐπειδὴ ψήφῳ θεοῦ ἐπέστη ἐμπρησμὸς τῇ θεοσώστῳ πόλει Ἄρτης καὶ τὰ ὡραῖα αὐτῆς, φεῦ κατέφαγε καὶ κατέφλεξε καὶ κατέφθειρεν αὐτῶν πάντα, ὅσα κατεῖχεν ἀνέκαθεν χαρτία καὶ δικαιώματα, διὰ τοῦτο ἀνέφερεν ὁ περιπόθητος καὶ γλυκύτατος πατὴρ καὶ σύντεκνος τῆς βασιλείας μου, μέγας κοντόσταυλος κύριος Ἰωάννης

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ Κ. ΘΕΟΣ. ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΓΙΤΣΙΟΣ
Ε.σ.Δ τμ. Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006